[illegible]

***Της Θείας Γραφής***

***Παλαιάς δηλαδή και Νέας Άπαντα***

***Divinae scripturae veteris nouveq[ue]***

***Omnia***

Argentorati

apud Wolfium Cephaleum, 1524-1526

# ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

## Τοῦ μακαρίου κυρίου Θεοφυλάκτου προοίμιον εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον.

ΕΠΙΤΡΟΠΗ ΚΕΙΜΗΛΙΩΝ Μ...

σαν μὲν ἔσω πρὸ τοῦ νόμου ἐκεῖνοι θεῖοι ἄνδρες, οἳ διὰ γραμμάτων καὶ βιβλίων ἐδιδάσκοντο, ἀλλὰ τὴν καθαρὰν ἔχοντες τὴν διάνοιαν, τῇ τοῦ πνεύματος ἐλλάμψει ἐφωτίζοντο, καὶ οὕτω τὰ τοῦ θεοῦ ἐγίνωσκον θελήματα, αὐτοῦ ἐκείνου ὁμιλοῦντος αὐτοῖς στόμα κατὰ στόμα. τοιοῦτος ἦν ὁ Νῶε, ὁ ἀβραάμ, ὁ Ἰώβ, ὁ μωϋσῆς. ἐπεὶ δὲ ἠσθένησαν οἱ ἄνθρωποι καὶ ἀνάξιοι ἦσαν φωτίζεσθαι καὶ διδάσκεσθαι ὑπὸ τοῦ πνεύματος, δέδωκεν ὁ φιλάνθρωπος θεὸς τὰς γραφὰς, ἵνα κἂν διὰ τούτων ὑπομιμνήσκωνται τῶν τοῦ θεοῦ θελημάτων. οὕτω καὶ ὁ Χριστὸς τοῖς μὲν ἀποστόλοις, αὐτοπροσώπως ὡμίλησε, καὶ τὴν τοῦ πνεύματος χάριν διδάσκαλον αὐτοῖς ἔπεμψεν. ἐπεὶ δὲ μετὰ ταῦτ' ἔμελλον αἱρέσεις ἀναβλαστῆσαι, καὶ τὰ ἤθη ἡμῶν διαφθαρῆναι, εὐδόκησε γραφῆναι τὰ εὐαγγέλια, ἵνα ἐκ τούτων διδασκόμενοι τὴν ἀλήθειαν, μὴ παρασυρῶμεν ὑπὸ τοῦ ψεύδους τῶν αἱρέσεων, μὴ δὲ παντελῶς διαφθαρῶσι τὰ ἤθη ἡμῶν. τέσσαρα δὲ δέδωκεν ἡμῖν εὐαγγέλια, τυχὸν διότι τὰς καθολικὰς τέσσαρας ἀρετὰς ἐκ τούτων μανθάνομεν, τὴν ἀνδρείαν, τὴν φρόνησιν, τὴν δικαιοσύνην, τὴν σωφροσύνην. τὴν μὲν ἀνδρείαν, ὅταν λέγῃ ὁ κύριος, μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. τὴν δὲ φρόνησιν, ὅταν παραινῇ, γίνεσθε



...ΚΟΣ ΣΥΛΛΟΓΟΣ 2412

φρόνιμοι ὡς οἱ ὄφεις. τὴν δὲ δικαιοσύνην, ὅταν διδάσκῃ, καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. τὴν δὲ σωφροσύνην, ὅταν ἀποφαίνηται, πᾶς ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ ἄλλως δὲ τέσσαρα εἰσὶν τὰ εὐαγγέλια. Εὐαγγέλιον λέγεται, διότι ἀγγέλλει ἡμῖν πράγματα εὖ καὶ καλῶς ἔχοντα, τουτέστιν ἀγαθά. ἄφεσιν ἁμαρτιῶν, δικαίωσιν, ἄνοδον εἰς οὐρανούς, καὶ υἱοθεσίαν θεοῦ. ἀγγέλλει δὲ ὅτι εὐκόλως ταῦτα ἐλάβομεν. μὴ γὰρ ἐκοπιάσαμεν ἡμεῖς ἐπὶ τῇ κτήσει τούτων τῶν ἀγαθῶν, ἢ ἐξ ἰδίων κατορθωμάτων ταῦτα ἐλάβομεν, ἀλλὰ χάριτι καὶ τῇ φιλανθρωπίᾳ θεοῦ τηλικούτων ἀγαθῶν ἠξιώθημεν.

Κατὰ ματθαῖον. Τέσσαρες εἰσὶν οἱ εὐαγγελισταί. τούτων δὲ οἱ μὲν δύο ματθαῖος καὶ ἰωάννης ἦσαν ἐκ τοῦ χοροῦ τῶν δώδεκα. οἱ δὲ δύο μάρκος καὶ λουκᾶς, ἐκ τῶν ἑβδομήκοντα. ἦν δὲ ὁ μὲν μάρκος ἀκόλουθος καὶ μαθητὴς πέτρου, ὁ δὲ λουκᾶς παύλου. ὁ τοίνυν ματθαῖος πρῶτον πάντων γράφει τὸ εὐαγγέλιον ἑβραΐδι φωνῇ πρὸς τοὺς ἐξ ἑβραίων πιστεύσαντας, μετὰ ὀκτὼ ἔτη τῆς Χριστοῦ ἀναλήψεως. μετέφρασε δὲ τοῦτο ἰωάννης ἀπὸ τῆς ἑβραΐδος γλώττης εἰς τὴν ἑλληνίδα, ὥς λέγουσι. μάρκος δὲ μετὰ δέκα ἔτη τῆς ἀναλήψεως ἔγραψεν, ὑπὸ τοῦ πέτρου διδαχθείς. λουκᾶς δὲ μετὰ πεντεκαίδεκα. ἰωάννης δὲ ὁ θεολογικώτατος μετὰ τριάκοντα δύο ἔτη. λέγουσι γὰρ, ὅτι μετὰ τὸν θάνατον ἐκείνων ἐπιζήσαντι αὐτῷ προσηνέχθησαν τὰ τρία εὐαγγέλια, ἵνα ἴδῃ αὐτὰ καὶ κρίνῃ, εἰ ἀληθῶς συνεγράφησαν. ὁ δὲ ἰδὼν ταῦτα καὶ τῆς ἀληθείας χάριν ὑπεραποδεξάμενος, ὅσα ἐκεῖνοι παρέλειψαν, αὐτὸς ἀνεπλήρωσεν, ὅσα δὲ συντόμως εἶπον αὐτὸς ἐπλάτυνεν ἐν τῷ οἰκείῳ εὐαγγελίῳ, διὸ καὶ ἀπὸ θεολογίας ἤρξατο. ἐπεὶ γὰρ οἱ ἄλλοι οὐκ ἐμνήσθησαν τῆς πρὸ αἰώνων ὑπάρξεως τοῦ θεοῦ λόγου, αὐτὸς ἐθεολόγησε



περὶ ταύτης, ἵνα μὴ νομισθείη ὁ τοῦ θεοῦ λόγος ψιλὸς ἄνθρωπος εἶναι, τουτέστι δίχα θεότητος. ματθαῖος γοῦν περὶ τῆς κατὰ σάρκα μόνης ὑπάρξεως τοῦ Χριστοῦ διαλέγεται. πρὸς τοὺς ἑβραίους ἔγραφεν, οἷς ἀρκετὸν ἦν τὸ μαθεῖν, ὅτι ἀπὸ ἀβραὰμ καὶ δαβὶδ ἐγεννήθη ὁ Χριστός. ἀναπαύεται γὰρ ὁ ἐξ ἑβραίων πιστεύσας, ὅταν πληροφορηθῇ, ὅτι ἀπὸ δαβὶδ ἐστὶν ὁ Χριστός. Ἀλλὰ λέγεις μοι, ὅτι οὐκ ἤρκει εἷς εὐαγγελιστής; ἄκουε τοίνυν ὅτι ἤρκει μὲν, ἀλλ' ἵνα δειχθῇ μᾶλλον ἡ ἀλήθεια, διὰ τοῦτο τέσσαρες συνεχωρήθησαν γράψαι. ὅταν γὰρ ἴδῃς τούτους τοὺς τέσσαρας μὴ συνελθόντας, μηδὲ συγκαθίσαντας ἀλλήλοις, ἀλλὰ ἄλλον ἀλλαχοῦ ὄντας, εἶτα γράψαντας περὶ τῶν αὐτῶν ὥσπερ ἀφ' ἑνὸς στόματος, οὐκ ἂν θαυμάσαις τὴν τοῦ εὐαγγελίου ἀλήθειαν. καὶ εἴποις ὡς ἐκ πνεύματος ἁγίου ἐλάλησαν; καὶ μή μοι λέγε, ὅτι οὐχ ὁμοφωνοῦσιν ἐν πᾶσιν. ἴδε γὰρ ἐν τίσιν οὐχ ὁμοφωνοῦσιν. ἄρα ὁ μὲν εἶπεν, ὅτι ἐγεννήθη Χριστὸς, ὁ δὲ, οὔ; ἢ ὁ μὲν, ὅτι ἀνέστη, ὁ δὲ, ὅτι οὔ; μὴ γένοιτο. ἐν γὰρ τοῖς ἀναγκαιοτέροις καὶ κυριωτέροις ὁμοφωνοῦσιν. εἰ τοίνυν ἐν τοῖς κυριωτέροις οὐ διηνέχθησαν, τί θαυμάζεις ἐὰν ἐν τοῖς ἐλαχίστοις δοκῶσι διαλλάττειν; δι' αὐτὸ γὰρ τοῦτο μᾶλλον ἀληθεύουσιν, ὅτι μὴ κατὰ πάντα ὡμοφώνησαν. ἐνομίσθησαν γὰρ ἄν, ὅτι συγκαθίσαντες ἀλλήλοις καὶ συμβουλευσάμενοι, ἔγραψαν. νῦν δὲ ὃ παρέλειψεν οὗτος, ἔγραψεν ἐκεῖνος. καὶ διὰ τοῦτο δοκοῦσιν ἔν τισι διαλλάττειν. καὶ ταῦτα μὲν οὕτως.

# ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΜΑΤΘΑΙΟΥ ΚΑΤΑ ΣΩΦΡΟΝΙΟΝ.

Ματθαῖος ὁ καὶ Λευίς, ἀπόστολος ἀπὸ τελω-
νῶν, ἐν τῇ Ἰουδαίᾳ πρῶτος διὰ τοὺς ἐκ περι-
τομῆς πιστεύσαντας εὐαγγέλιον τοῦ Χριστοῦ γράμ-
μ μασι, καὶ ῥήμασιν ἑβραϊκοῖς συνέταξεν,
ἀγνοουμένου τοῦ μετὰ ταῦτα εἰς ἑλληνικὸν αὐτὸ
μεταφράσαντος. Τὸ δὲ ἑβραϊκὸν ἄχρι τήμερόν ἐστιν ἐν τῇ βι-
βλιοθήκῃ καισαρείας τῆς παρὰ παμφίλου μάρτυρος σπου-
δαίως κατασκευασθείσης. Ἐμοὶ δὲ παρὰ τῶν ναζωραίων τῶν
ἐν Βεροίᾳ τῆς συρίας τούτῳ κεχρημένων, ἄδεια παρεσχέθη
τοῦ τούτου μεταγραφῆς, δι' οὗ ἐστιν ἀκριβῶς πεισθῆναι, ὡς ἐν
θαλᾶν ὁ εὐαγγελιστὴς εἴτε ἐκ προσώπου οἰκείου, εἴτε ἐκ προ-
σώπου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ σωτῆρος ταῖς μαρ-
τυρίαις κατακέχρηται τῶν παλαιῶν γραφῶν, μὴ ἀκολουθῶν
τῇ αὐθεντίᾳ τῶν ἑβδομήκοντα ἑρμηνευτῶν, ἀλλὰ τῇ
ἑβραϊκῇ, ἀφ' ὧν τὰ δύο ἐστὶν ἐκεῖνα. ἐξ αἰγύ-
πτου ἐκάλεσα τὸν υἱόν μου. καὶ, ὅτι
ναζωραῖος κληθήσεται.



# ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ.

Κεφάλαιον πρῶτον.
Caput

I ΒΙΒΛΟΣ γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ
δαβὶδ, υἱοῦ ἀβραάμ. ἀβραὰμ ἐγέννησε
τὸν ἰσαάκ. ἰσαὰκ δὲ, ἐγέννησε τὸν ἰα-
κώβ. ἰακὼβ δὲ, ἐγέννησε τὸν ἰούδαν, καὶ
τοὺς ἀδελφοὺς αὐτοῦ. ἰούδας δὲ, ἐγέν-
νησε τὸν φαρὲς, καὶ τὸν ζαρὰ, ἐκ τῆς θά-
μαρ. φαρὲς δὲ, ἐγέννησε τὸν ἐσρώμ.
ἐσρὼμ δὲ, ἐγέννησε τὸν ἀράμ. ἀρὰμ δὲ ἐγέννησε τὸν ἀμινα-
δάβ. ἀμιναδὰβ δὲ ἐγέννησε τὸν ναασσών. Ναασσὼν δὲ, ἐ-
γέννησε τὸν σαλμών. Σαλμὼν δὲ, ἐγέννησε τὸν βοὸζ ἐκ τῆς
ῥαχάβ. βοὸζ δὲ, ἐγέννησε τὸν ὠβὴδ, ἐκ τῆς ῥούθ. ὠβὴδ δὲ,
ἐγέννησε τὸν ἰεσσαί. ἰεσσαὶ δὲ, ἐγέννησε τὸν δαβὶδ τὸν βασι-
λέα. δαβὶδ δὲ, ὁ βασιλεὺς ἐγέννησε τὸν σολομῶνα ἐκ τῆς τοῦ
οὐρίου. σολομὼν δὲ, ἐγέννησε τὸν ῥοβοάμ. ῥοβοὰμ δὲ, ἐ-
γέννησε τὸν ἀβιά. ἀβιὰ δὲ, ἐγέννησε τὸν ἀσά. ἀσὰ δὲ, ἐγέν-
νησε τὸν ἰωσαφάτ. ἰωσαφὰτ δὲ, ἐγέννησε τὸν ἰωράμ. ἰω-
ρὰμ δὲ, ἐγέννησε τὸν ὀζίαν. ὀζίας δὲ, ἐγέννησε τὸν ἰωάθαμ.
ἰωάθαμ δὲ, ἐγέννησε τὸν ἄχαζ. ἄχαζ δὲ, ἐγέννησε τὸν ἐζε-
κίαν. ἐζεκίας δὲ, ἐγέννησε τὸν μανασσῆ. Μανασσῆς δὲ, ἐγέν-
νησε τὸν ἀμών. ἀμὼν δὲ, ἐγέννησε τὸν ἰωσίαν. ἰωσίας δὲ, ἐ-
γέννησε τὸν ἰεχονίαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοι- transmigratio
κεσίας βαβυλῶνος, μετὰ δὲ τὴν μετοικεσίαν βαβυλῶνος,
ἰεχονίας ἐγέννησε τὸν σαλαθιήλ. σαλαθιὴλ δὲ, ἐγέννησε τὸν
ζοροβάβελ. ζοροβάβελ δὲ, ἐγέννησε τὸν ἀβιούδ. ἀβιοὺδ δὲ,

ἐγέννησε τὸν ἐλιακίμ. ἐλιακὶμ δὲ, ἐγέννησε τὸν ἀζώρ. ἀζὼρ δὲ, ἐγέννησε τὸν σαδώκ. σαδὼκ δὲ, ἐγέννησε τὸν ἀχείμ. ἀχεὶμ δὲ, ἐγέννησε τὸν ἐλιούδ. ἐλιοὺδ δὲ, ἐγέννησε τὸν ἐλεάζαρ. ἐλεάζαρ δὲ, ἐγέννησε τὸν ματθάν. ματθὰν δὲ ἐγέννησε τὸν ἰακώβ. ἰακὼβ δὲ, ἐγέννησε τὸν ἰωσὴφ, τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ, ἀπὸ ἀβραὰμ ἕως δαβὶδ, γενεαὶ δεκατέσσαρες. καὶ ἀπὸ δαβὶδ ἕως τῆς μετοικεσίας βαβυλῶνος, γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν, μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ μαρίας τῷ ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ λέγων. Ἰωσὴφ υἱὸς δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός. Διεγερθεὶς δὲ ὁ ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ, καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς, τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα

II αὐτοῦ Ἰησοῦν. Κεφ. β. Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν βηθ-

λεὲμ τῆς ἰουδαίας ἐν ἡμέραις ἡρώδου τοῦ βασιλέως. ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παραγένοντο εἰς ἱεροσόλυμα λέγοντες. ποῦ



ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν ἰουδαίων; Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ ἡρώδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα ἱεροσόλυμα μετ' αὐτοῦ, καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ ἐν βηθλεὲμ τῆς ἰουδαίας. οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου. καὶ σὺ βηθλεὲμ γῆ ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ἰούδα, ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν ἰσραήλ. Τότε ἡρώδης λάθρα καλέσας τοὺς μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος, καὶ πέμψας αὐτοὺς εἰς βηθλεὲμ εἶπεν. πορευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως, ἐπορεύθησαν, καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτοὺς, ἕως ἐλθὼν, ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εὗρον τὸ παιδίον μετὰ μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ. καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα. Χρυσὸν καὶ λίβανον καὶ σμύρναν, καὶ χρηματισθέντες κατ' ὄναρ, μὴ ἀνακάμψαι πρὸς ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν, εἰς τὴν χώραν αὐτῶν. Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ' ὄναρ τῷ ἰωσήφ, λέγων. ἐγερθεὶς, παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς αἴγυπτον, καὶ ἴσθι ἐκεῖ, ἕως ἂν εἴπω σοι, μέλλει γὰρ ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς αἴγυπτον, καὶ ἦν ἐκεῖ, ἕως τῆς τελευτῆς ἡρώδου, ἵνα πληρωθῇ τὸ

[illegible]

ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου, λέγοντος· ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. τότε ἡρώδης ἰδὼν, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς, καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων. Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ ἱερεμίου τοῦ προφήτου, λέγοντος. φωνὴ ἐν ῥαμᾶ ἠκούσθη, θρῆνος, καὶ κλαυθμὸς, καὶ ὀδυρμὸς πολύς· ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν. Τελευτήσαντος δὲ τοῦ ἡρώδου, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ φαίνεται τῷ ἰωσὴφ ἐν αἰγύπτῳ λέγων· ἐγερθεὶς, παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν ἰσραήλ. Τεθνήκασιν γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. ὁ δὲ ἐγερθεὶς. παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν ἰσραήλ. ἀκούσας δὲ ὅτι ἀρχέλαος βασιλεύει ἐπὶ τῆς ἰουδαίας ἀντὶ ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς γαλιλαίας. καὶ ἐλθὼν, κατῴκησεν εἰς πόλιν λεγομένην ναζαρέθ. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν
III προφητῶν. ὅτι ναζωραῖος κληθήσεται. Κεφ. γ. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις, παραγίνεται ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς ἰουδαίας, καὶ λέγων. μετανοεῖτε. ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν, οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ ἡσαΐου τοῦ προφήτου λέγοντος. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. αὐτὸς δὲ ὁ ἰωάννης, εἶχε τὸ ἔνδυμα αὐτοῦ, ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην, περὶ τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες, καὶ μέλι ἄγριον, τότε ἐξεπορεύετο πρὸς αὐτὸν ἱεροσόλυμα, καὶ πᾶσα ἡ ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ ἰορδάνου, καὶ ἐβαπτίζοντο ἐν τῷ ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι



τὰς ἁμαρτίας αὐτῶν. Ἰδὼν δὲ πολλοὺς τῶν φαρισαίων, καὶ σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν, ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας. καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν ἀβραάμ. Λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστίν. οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί, οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ, εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον, κατακαύσει πυρὶ ἀσβέστῳ. Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς γαλιλαίας ἐπὶ τὸν ἰορδάνην πρὸς τὸν ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. ὁ δὲ ἰωάννης διεκώλυεν αὐτὸν, λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτὸν, ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν, πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν αὐτόν. καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος. καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ καὶ εἶδε τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν. καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. Κεφάλαιον. δ. Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα, καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασεν. καὶ προσελθὼν αὐτῷ ὁ πειράζων, εἶπεν. Εἰ υἱὸς εἶ τοῦ θεοῦ εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.

ὁ δὲ ἀποκριθεὶς εἶπε· γέγραπται, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ λέγει αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἔφη αὐτῷ ὁ Ἰησοῦς, πάλιν γέγραπται, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν, καὶ λέγει αὐτῷ· ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, ὕπαγε σατανᾶ· γέγραπται γάρ· κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος· καὶ ἰδοὺ ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ. Ἀκούσας δὲ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, καὶ καταλιπὼν τὴν Ναζαρὲθ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος, γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. Καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους, καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς. Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως, καὶ Ἱεροσολύμων, καὶ Ἰουδαίας, καὶ πέραν τοῦ Ἰορδάνου.

Κεφ. ε.

Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτούς, λέγων. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρα-
νοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας, τοὺς πρὸ ὑμῶν. ὑμεῖς
ἐστε τὸ ἅλας τῆς γῆς. ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται;
εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ
τῶν ἀνθρώπων. ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυ-
βῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν
ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν· καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ
οἰκίᾳ. οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅ-
πως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑ-
μῶν, τὸν ἐν τοῖς οὐρανοῖς. μὴ νομίσητε, ὅτι ἦλθον καταλῦ-
σαι τὸν νόμον ἢ τοὺς προφήτας, οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ
πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς
καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία, οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου,
ἕως ἂν πάντα γένηται. ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τού-
των τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλά-
χιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ὃς δ' ἂν ποιή-
σῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν. λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύ-
νη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς
τὴν βασιλείαν τῶν οὐρανῶν. Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρ-
χαίοις, οὐ φονεύσεις, ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρί-
σει. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ
εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥα-
κά, ἔνοχος ἔσται τῷ συνεδρίῳ, ὃς δ' ἂν εἴπῃ μωρέ, ἔνοχος ἔ-
σται εἰς τὴν γέενναν τοῦ πυρός. ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου
ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι
κατὰ σοῦ. ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ
ὕπαγε πρῶτον, διαλλάγηθι τῷ ἀδελφῷ σου. καὶ τότε ἐλθὼν
πρόσφερε τὸ δῶρόν σου. Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ
ἕως ὅτ

Propositio.

occasio.

Lex est spiritualis, requirit etiam ... Loci duo. Primus de iustitia pharisaica, legali et christiana. Explicatio quinti praecepti



ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, μήποτέ σε παραδῷ ὁ ἀντί-
δικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ καὶ
εἰς φυλακὴν βληθήσῃ. ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν,
ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. ἠκούσατε, ὅτι ἐρ-
ρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι
πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοί-
χευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξι-
ὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλλε ἀπὸ σοῦ. συμφέρει
γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά
σου βληθῇ εἰς γέενναν. καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε,
ἔκκοψον αὐτὴν καὶ βάλλε ἀπὸ σοῦ, συμφέρει γάρ σοι, ἵνα ἀπό-
ληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέ-
ενναν. ἐρρέθη δέ, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ δότω αὐ-
τῇ ἀποστάσιον. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖ-
κα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι·
καὶ ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται. πάλιν ἠκούσατε,
ὅτι ἐρρέθη τοῖς ἀρχαίοις. οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ
τῷ κυρίῳ τοὺς ὅρκους σου. ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως
μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ θεοῦ, μήτε ἐν τῇ γῇ·
ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ, μήτε εἰς Ἱεροσόλυμα,
ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως. μήτε ἐν τῇ κεφαλῇ σου
ὀμόσῃς, οὐ δύνασαι, μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι.
ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ ναί, οὒ οὔ, τὸ δὲ περισσὸν τούτων, ἐκ
τοῦ πονηροῦ ἐστιν. ἠκούσατε ὅτι ἐρρέθη, ὀφθαλμὸν ἀντὶ ὀφθαλ-
μοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆ-
ναι τῷ πονηρῷ. ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σι-
αγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ τῷ θέλοντί σοι κριθῆναι
καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ ὅστις
σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο, τῷ αἰτοῦντί σε

δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.
Ἠκούσατε ὅτι ἐῤῥέθη, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισή-
σεις τὸν ἐχθρόν σου. Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐ-
χθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς
ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐ-
πηρεαζόντων ὑμᾶς, καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ
τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλ-
λει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδί-
κους. Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μι-
σθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; καὶ ἐὰν ἀσπά-
σησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ
καὶ οἱ τελῶναι οὕτως ποιοῦσιν; ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσ-
περ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι.

VI Κεφ. ς. Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν, μὴ ποιεῖν
ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς, εἰ δὲ μή-
γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν οὐρανοῖς.
Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου,
ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν
ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. ἀμὴν λέ-
γω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος ἐλεημοσύ-
νην, μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου, ὅπως ᾖ σου
ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν
τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει ἐν τῷ φανερῷ, καὶ ὅταν προσ-
εύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταὶ, ὅτι φιλοῦσιν ἐν ταῖς συ-
ναγωγαῖς, καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύ-
χεσθαι ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ὅτι
ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς
τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πα-
τρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ



κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. προσευχόμενοι δὲ, μὴ
βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί, δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πο-
λυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς,
οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς
αἰτῆσαι αὐτόν. Οὕτως οὖν προσεύχεσθε ὑμεῖς. Πάτερ ἡμῶν
ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω ἡ βασι-
λεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ
τῆς γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον, δὸς ἡμῖν σήμερον.
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν
τοῖς ὀφειλέταις ἡμῶν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι σοῦ ἐστιν ἡ βασιλεία,
καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας ἀμήν. Ἐὰν γὰρ
ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑ-
μῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις
τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παρα-
πτώματα ὑμῶν. ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκρι-
ταὶ σκυθρωποί. ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φα-
νῶσι τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέ-
χουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφα-
λὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώ-
ποις νηστεύων ἀλλὰ τῷ πατρί σου, τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πα-
τήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανε-
ρῷ. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς
καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι, καὶ κλέπτου-
σι. Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου, οὔτε σὴς
οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ
κλέπτουσιν. ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ
καρδία ὑμῶν. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός, ἐὰν
οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν

ἔσται. ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκο
τεινὸν ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστί, τὸ σκότος πό
σον; οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. ἢ γὰρ τὸν ἕνα
μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέ
ρου καταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. διὰ
τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, καὶ τί
πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ
πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; ἐμβλέψα
τε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζου
σιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐ
ράνιος, τρέφει αὐτά. οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; τίς
δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ
πῆχυν ἕνα; καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε τὰ
κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει. οὐ κοπιᾷ, οὐδὲ νήθει. λέγω δὲ
ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο
ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔρι
ον εἰς κλίβανον βαλλόμενον, ὁ θεὸς οὕτως ἀμφιέννυσιν, οὐ
πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; μὴ οὖν μεριμνήσητε λέγον
τες. τί φάγωμεν ἢ τί πίωμεν, ἢ περιβαλώμεθα. πάντα γὰρ ταῦ
τα τὰ ἔθνη ἐπιζητεῖ. οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι
χρῄζετε τούτων ἁπάντων. ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ
θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται
ὑμῖν. μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον, μεριμνή
VII σει τὰ ἑαυτῆς. ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. Κεφ. ζ.

Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, ἐν ᾧ γὰρ κρίματι κρίνετε, κρι
θήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν. τί δὲ βλέ
πεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν
τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; ἢ πῶς ἐρεῖς τῷ ἀδελ
φῷ σου, ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου, καὶ



ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; ὑποκριτά, ἔκβαλε πρῶ
τον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκ
βαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. μὴ δῶτε τὸ
ἅγιον τοῖς κυσί, μηδὲ βάλλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπρο
σθεν τῶν χοίρων, μή ποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς
ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. αἰτεῖτε καὶ δοθή
σεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν.
πᾶς γὰρ ὁ αἰτῶν, λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρού
οντι ἀνοιγήσεται. ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰ
τήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχ
θὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ οὖν ὑμεῖς πονηροὶ ὄν
τες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πό
σῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς
αἰτοῦσιν αὐτόν; πάντα οὖν ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ
ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. οὗτος γάρ ἐστιν ὁ νό
μος καὶ οἱ προφῆται. εἰσέλθετε διὰ τῆς στενῆς πύλης. ὅτι πλα
τεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλει
αν καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. ὅτι στενὴ ἡ πύλη,
καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι
εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. προσέχετε δὲ ἀπὸ τῶν ψευδοπρο
φητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων,
ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπι
γνώσεσθε αὐτούς. μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν; ἢ
ἀπὸ τριβόλων σῦκα; οὕτω πᾶν δένδρον ἀγαθὸν, καρποὺς κα
λοὺς ποιεῖ. τὸ δὲ σαπρὸν δένδρον, καρποὺς πονηροὺς ποιεῖ.
οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν. οὐδὲ δέν
δρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. πᾶν δένδρον μὴ ποιοῦν
καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. ἄρα γε ἀπὸ
τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς, οὐ πᾶς ὁ λέγων μοι κύριε

κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν
τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. πολλοὶ ἐροῦσί μοι ἐν ἐ-
κείνῃ τῇ ἡμέρᾳ, κύριε κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσα-
μεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τῷ σῷ ὀνό-
ματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐ-
τοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς. ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐρ-
γαζόμενοι τὴν ἀνομίαν. πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους
τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠ-
κοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχή,
καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ
οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε. τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. καὶ
πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτούς, ὁ-
μοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ
ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοὶ καὶ
ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε,
καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν
ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ
διδαχῇ αὐτοῦ. ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων,
καὶ οὐχ ὡς οἱ γραμματεῖς. Κ. η. Καταβάντι δὲ αὐτῷ ἀπὸ
VIII τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἰδοὺ λεπρὸς ἐλ-
θὼν, προσεκύνει αὐτῷ λέγων. κύριε ἐὰν θέλῃς δύνασαί με κα-
θαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ ὁ Ἰησοῦς λέ-
γων. θέλω, καθαρίσθητι. καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.
καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς. ὅρα μηδενὶ εἴπῃς, ἀλλὰ ὕπαγε σε-
αυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέτα-
ξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς. Εἰσελθόντι δὲ τῷ Ἰησοῦ
εἰς Καπερναούμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακα-
λῶν αὐτὸν καὶ λέγων. Κύριε ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παρα-
λυτικός, δεινῶς βασανιζόμενος. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς.



ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν, καὶ ἀποκριθεὶς ἑκατόνταρχος,
ἔφη, κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς,
ἀλλὰ μόνον εἰπὲ λόγον, ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄν-
θρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ
λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ ἔρχου, καὶ ἔρ-
χεται. καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ. ἀκούσας
δὲ ὁ Ἰησοῦς. ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν. Ἀμὴν
λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. λέγω δὲ
ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι καὶ ἀνακλι-
θήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἐν τῇ βασιλείᾳ
τῶν οὐρανῶν, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς
τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς
τῶν ὀδόντων. καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ. ὕπαγε,
καὶ ὡς ἐπίστευσας γενηθήτω σοι, καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ
ὥρᾳ ἐκείνῃ. Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου,
εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν. καὶ
ἥψατο τῆς χειρὸς αὐτῆς καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς, καὶ
ἠγέρθη καὶ διηκόνει αὐτοῖς. Ὀψίας δὲ γενομένης, προσή-
νεγκαν αὐτῷ δαιμονιζομένους πολλούς καὶ ἐξέβαλε τὰ πνεύ-
ματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν.
ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος. αὐ-
τὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασεν.
Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν ἐκέλευσεν ἀπελ-
θεῖν εἰς τὸ πέραν. καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐ-
τῷ. διδάσκαλε ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. καὶ λέ-
γει αὐτῷ ὁ Ἰησοῦς. αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις. ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου, οὐκ
ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Ἕτερος δὲ τῶν μαθητῶν αὐ-
τοῦ εἶπεν αὐτῷ, κύριε ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ θά-

ψαι τὸν πατέρα μου. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἀκολούθει μοι,
καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. Καὶ ἐμβάν-
τι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,
καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖ-
ον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων, αὐτὸς δὲ ἐκάθευδεν. καὶ προ-
σελθόντες οἱ μαθηταὶ ἤγειραν αὐτὸν λέγοντες· κύριε, σῶσον
ἡμᾶς, ἀπολλύμεθα. καὶ λέγει αὐτοῖς· τί δειλοί ἐστε ὀλιγόπιστοι;
τότε ἐγερθεὶς, ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ
ἐγένετο γαλήνη μεγάλη. οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέγοντες,
ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι, καὶ ἡ θάλασσα ὑπακού-
ουσιν αὐτῷ; Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν, εἰς χώραν τῶν
Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι ἐκ τῶν
μνημείων ἐξερχόμενοι χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ πα-
ρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. καὶ ἰδοὺ ἔκραξαν λέγοντες· τί
ἡμῖν καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι
ἡμᾶς; ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκο-
μένη. οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν λέγοντες· Εἰ ἐκβάλ-
λεις ἡμᾶς ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοί-
ρων. καὶ εἶπεν αὐτοῖς, ὑπάγετε. οἱ δὲ ἐξελθόντες, ἀπῆλθον
εἰς τὴν ἀγέλην τῶν χοίρων, καὶ ἰδοὺ ὥρμησεν πᾶσα ἡ ἀγέ-
λη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθα-
νον ἐν τοῖς ὕδασιν. οἱ δὲ βόσκοντες ἔφυγον. καὶ ἀπελθόντες
εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων.
καὶ ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ
ἰδόντες αὐτὸν, παρεκάλεσαν, ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων
IX αὐτῶν. Κεφ. θ. Καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασε
καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. Καὶ ἰδοὺ προσέφερον αὐτῷ πα-
ραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν
αὐτῶν, εἶπε τῷ παραλυτικῷ· θάρσει τέκνον· ἀφέωνταί σοι αἱ



ἁμαρτίαι σου. καὶ ἰδού τινες τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς, οὗ-
τος βλασφημεῖ. καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶ-
πεν· ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;
τί γάρ ἐστιν εὐκοπώτερον, εἰπεῖν ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ
εἰπεῖν, ἔγειρε καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ
υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, τότε λέγει
τῷ παραλυτικῷ· ἐγερθεὶς, ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε
εἰς τὸν οἶκόν σου, καὶ ἐγερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.
ἰδόντες δὲ οἱ ὄχλοι, ἐθαύμασαν καὶ ἐδόξασαν τὸν θεὸν, τὸν
δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις. Καὶ παράγων ὁ Ἰη-
σοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον Ματθαῖ-
ον λεγόμενον, καὶ λέγει αὐτῷ, ἀκολούθει μοι. καὶ ἀναστὰς, ἠκο-
λούθησεν αὐτῷ, καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ
ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο
τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδόντες οἱ Φαρισαῖοι,
εἶπον τοῖς μαθηταῖς αὐτοῦ, διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁ-
μαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; ὁ δὲ Ἰησοῦς ἀκούσας,
εἶπεν αὐτοῖς· οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ
κακῶς ἔχοντες. πορευθέντες δὲ μάθετε τί ἐστιν, ἔλεον θέ-
λω, καὶ οὐ θυσίαν, οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρ-
τωλοὺς εἰς μετάνοιαν. τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ
Ἰωάννου λέγοντες· διὰ τί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολ-
λὰ, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν; καὶ εἶπεν αὐτοῖς ὁ Ἰη-
σοῦς· μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ' ὅσον μετ'
αὐτῶν ἐστιν ὁ νυμφίος; ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ
ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν. οὐδεὶς δὲ ἐπιβάλ-
λει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· αἴρει γὰρ
τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γί-
νεται. οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς. εἰ δὲ μή

γε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται, ἀλλὰ βάλλουσιν οἶνον νέον, εἰς ἀσκοὺς καινούς, καὶ ἀμφότερα συντηροῦνται. Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ ἄρχων ἐλθὼν προσεκύνει αὐτῷ λέγων, ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ᾽ αὐτήν, καὶ ζήσεται. καὶ ἐγερθεὶς ὁ Ἰησοῦς, ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἰδοὺ γυνὴ αἱμοῤῥοοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ ἐν ἑαυτῇ, ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτήν, εἶπε, θάρσει θύγατερ ἡ πίστις σου σέσωκέ σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον, λέγει αὐτοῖς. ἀναχωρεῖτε, οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ, ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. καὶ ἐξῆλθεν ἡ φήμη αὕτη, εἰς ὅλην τὴν γῆν ἐκείνην. Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες, ἐλέησον ἡμᾶς υἱὲ Δαβίδ. ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοί. καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ, ναὶ κύριε. τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων, κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί. καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων, ὁρᾶτε μηδεὶς γινωσκέτω. οἱ δὲ ἐξελθόντες, διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον, καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες, ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. οἱ δὲ Φαρισαῖοι ἔλεγον, ἐν τῷ



ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. ἰδὼν δὲ τοὺς ὄχλους, ἐσπλαγχνίσθη περὶ αὐτῶν. ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐῤῥιμμένοι ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα, τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ. ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι, δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

Κεφάλ. ι. Καὶ προσκαλεσάμενος τοὺς δώδεκα X
μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα. πρῶτος σίμων ὁ λεγόμενος πέτρος, καὶ ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, ἰάκωβος ὁ τοῦ ζεβεδαίου, καὶ ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, φίλιππος καὶ βαρθολομαῖος. θωμᾶς καὶ ματθαῖος, τελώνης. ἰάκωβος ὁ τοῦ ἀλφαίου. καὶ λεββαῖος ὁ ἐπικληθεὶς θαδδαῖος. σίμων ὁ κανανίτης. καὶ ἰούδας ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν. Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς λέγων. εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν σαμαρειτῶν μὴ εἰσέλθητε. πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ. πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε. δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε. μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον. μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδόν. μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον, ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. Εἰς ἣν δ᾽ ἂν πόλιν ἢ

κώμην εἰσέλθητε, ἐξετάσατε, τίς ἐν αὐτῇ ἄξιός ἐστι· καὶ ἐκεῖ
μείνατε ἕως ἂν ἐξέλθητε. εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν,
ἀσπάσασθε αὐτήν. καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη
ὑμῶν ἐπ' αὐτήν, ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν, πρὸς ὑμᾶς
ἐπιστραφήτω. καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς
λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης,
ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν λέγω ὑ-
μῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥων ἐν ἡμέρᾳ
κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρό-
βατα ἐν μέσῳ λύκων. γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ
ἀκέραιοι ὡς αἱ περιστεραί. προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων.
παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγω-
γαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς, καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βα-
σιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς, καὶ τοῖς
ἔθνεσιν. ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε,
πῶς ἢ τί λαλήσητε. δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί
λαλήσητε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα
τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. παραδώσει δὲ ἀδελφὸς ἀ-
δελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα
ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. καὶ ἔσεσθε μισούμενοι
ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗ-
τος σωθήσεται. ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ,
φεύγετε εἰς τὴν ἄλλην. Ἀμὴν γὰρ λέγω ὑμῖν. οὐ μὴ τελέσητε
τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.
οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν
κύριον αὐτοῦ. ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκα-
λος αὐτοῦ. καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ. εἰ τὸν οἰκοδε-
σπότην βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς
αὐτοῦ; μὴ οὖν φοβηθῆτε αὐτούς. οὐδὲν γάρ ἐστι κεκαλυμμένον,



ὃ οὐκ ἀποκαλυφθήσεται. καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. Ὃ λέ-
γω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί. καὶ ὃ εἰς τὸ οὖς ἀ-
κούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν
ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀπο-
κτεῖναι. φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ τὴν ψυχὴν,
καὶ τὸ σῶμα ἀπολέσαι ἐν γεέννῃ. οὐχὶ δύο στρουθία ἀσσαρίου
πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ
πατρὸς ὑμῶν, ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι, ἠ-
ριθμημέναι εἰσίν. μὴ οὖν φοβηθῆτε, πολλῶν στρουθίων, διαφέ-
ρετε ὑμεῖς. Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν
ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ, ἔμπροσθεν τοῦ πατρός
μου τοῦ ἐν οὐρανοῖς. ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν
ἀνθρώπων ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου
ἐν οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν
γῆν, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν, ἦλθον γὰρ δι-
χάσαι ἄνθρωπον, κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κα-
τὰ τῆς μητρὸς αὐτῆς. καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς,
καὶ ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ αὐτοῦ. Ὁ φιλῶν πατέ-
ρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ
θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. καὶ ὃς οὐ λαμβάνει τὸν
σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. ὁ
εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν
ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. ὁ δεχόμενος ὑμᾶς
ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαν-
τά με. ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν
προφήτου λήψεται. καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δι-
καίου μισθὸν δικαίου λήψεται. καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν
τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω
ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Κε. ια. Καὶ ἐγένετο ὅτε

ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν. Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ ἀκούετε καὶ βλέπετε. τυφλοὶ ἀναβλέπουσιν, καὶ χωλοὶ περιπατοῦσιν, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσιν, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται. καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου. τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται. ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν, μείζων Ἰωάννου τοῦ βαπτιστοῦ. ὁ δὲ μικρότερος, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστίν. ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος, ἕως Ἰωάννου προεφήτευσαν. καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; ὁμοία ἐστὶ παιδαρίοις ἐν ἀγοραῖς καθημένοις, καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν, καὶ λέγουσιν, ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε. ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε. ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων,



καὶ λέγουσιν, ὅτι δαιμόνιον ἔχει. ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν. ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος, καὶ ἁμαρτωλῶν, καὶ ἐδικαιώθη ἡ σοφία, ἀπὸ τῶν τέκνων αὐτῆς. Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ. ὅτι οὐ μετενόησαν. οὐαί σοι Χοραζίν, οὐαί σοι Βηθσαϊδάν, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν. πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι, ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν. καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ, ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, ἔμειναν ἂν μέχρι τῆς σήμερον. πλὴν λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ σοί. Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν. ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. ναὶ ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱόν, εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Κεφ. ιβ. Ἐν ἐκείνῳ τῷ καιρῷ, ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων. οἱ δὲ μαθηταὶ αὐτοῦ, ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας, καὶ ἐσθίειν. οἱ δὲ φαρισαῖοι ἰδόντες εἶπον αὐτῷ. ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ. XII

ὁ δὲ εἶπεν αὐτοῖς, οὐκ ἀνέγνωτε, τί ἐποίησεν Δαβὶδ, ὅτε ἐ-
πείνασε, αὐτὸς καὶ οἱ μετ' αὐτοῦ· πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ
θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν
ἦν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μό-
νοις. ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς
ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσιν; λέγω
δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε. εἰ δὲ ἐγνώκειτε, τί ἐστιν
ἔλεον θέλω, καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναι-
τίους. κύριος γάρ ἐστι καὶ τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ
μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν, καὶ ἰ-
δοὺ ἄνθρωπος ἦν, τὴν χεῖρα ἔχων ξηράν, καὶ ἐπηρώτησαν αὐ-
τὸν λέγοντες. εἰ ἔξεστι τοῖς σάββασιν θεραπεύειν; ἵνα κατηγο-
ρήσωσιν αὐτοῦ. ὁ δὲ εἶπεν αὐτοῖς. τίς ἔσται ἐξ ὑμῶν ἄνθρω-
πος, ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββα-
σιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ; πόσῳ οὖν δια-
φέρει ἄνθρωπος προβάτου. ὥστε ἔξεστι τοῖς σάββασι καλῶς
ποιεῖν. τότε λέγει τῷ ἀνθρώπῳ. ἔκτεινον τὴν χεῖρά σου, καὶ
ἐξέτεινε, καὶ ἀπεκατεστάθη ὑγιὴς ὡς ἡ ἄλλη. οἱ δὲ φαρισαῖοι ἐξ-
ελθόντες συμβούλιον ἔλαβον κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέ-
σωσιν. ὁ δὲ Ἰησοῦς γνοὺς, ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἠκολού-
θησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας.
καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν. ὅπως
πληρωθῇ τὸ ῥηθὲν διὰ ἠσαΐου τοῦ προφήτου λέγοντος. ἰδοὺ ὁ
παῖς μου ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου εἰς ὃν εὐδόκησεν ἡ ψυ-
χή μου, θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν
ἀπαγγελεῖ. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις
ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον συντετριμμέ-
νον οὐ κατεάξει, καὶ λίνον τυφόμενον, οὐ σβέσει, ἕως ἂν ἐκβά-
λῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.

Τότε



Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς καὶ κωφός,
καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν, καὶ λαλεῖν
καὶ βλέπειν. καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον. μήτι οὗτός
ἐστιν ὁ υἱὸς Δαβίδ; οἱ δὲ φαρισαῖοι ἀκούσαντες εἶπον. οὗτος
οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ βεελζεβοὺλ ἄρχοντι τῶν
δαιμονίων. εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐ-
τοῖς. πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς, ἐρημοῦται. καὶ
πᾶσα πόλις, ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται. καὶ
εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη. πῶς
οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; καὶ εἰ ἐγὼ ἐν βεελζεβοὺλ ἐκβάλ-
λω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν, ἐν τίνι ἐκβάλλουσιν; διὰ τοῦτο
αὐτοὶ ὑμῶν ἔσονται κριταί. εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλ-
λω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. ἢ
πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ
σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ
τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει; Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐ-
μοῦ ἐστιν. καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει. διὰ τοῦτο λέγω
ὑμῖν. πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώ-
ποις, ἡ δὲ τοῦ πνεύματος βλασφημία, οὐκ ἀφεθήσεται τοῖς ἀνθρώ-
ποις. καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσε-
ται αὐτῷ. ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου. οὐκ ἀ-
φεθήσεται αὐτῷ, οὔτε ἐν τούτῳ τῷ αἰῶνι, οὔτε ἐν τῷ μέλλον-
τι. ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν,
ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν.
Ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Γεννήματα ἐχιδνῶν,
πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες; Ἐκ γὰρ τοῦ περισσεύμα-
τος τῆς καρδίας τὸ στόμα λαλεῖ. ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀ-
γαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά, καὶ ὁ πονη-
ρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ, ἐκβάλλει πονηρά. Λέ-

γω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρω-
ποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον, ἐν ἡμέρᾳ κρίσεως. Ἐκ
γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου κατα-
δικασθήσῃ. Τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ φαρι-
σαίων λέγοντες· διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν.
ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς,
σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον
ἰωνᾶ τοῦ προφήτου. ὥσπερ γὰρ ἦν ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους
τρεῖς ἡμέρας, καὶ τρεῖς νύκτας, οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώ-
που ἐν τῇ καρδίᾳ τῆς γῆς, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. ἄν-
δρες νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύ-
της, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα
ἰωνᾶ. καὶ ἰδοὺ πλεῖον ἰωνᾶ ὧδε. βασίλισσα νότου ἐγερθήσεται
ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτήν,
ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν σολο-
μῶντος, καὶ ἰδοὺ πλεῖον σολομῶντος ὧδε. Ὅταν δὲ τὸ ἀ-
κάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύ-
δρων τόπων ζητοῦν ἀνάπαυσιν. καὶ οὐχ εὑρίσκει. τότε λέγει, ἐ-
πιστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον. καὶ ἐλθὼν εὑρίσκει σχο-
λάζοντα, σεσαρωμένον καὶ κεκοσμημένον. Τότε πορεύεται καὶ
παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα
ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ. καὶ γίνεται τὰ ἔσχατα
τοῦ ἀνθρώπου ἐκείνου, χείρονα τῶν πρώτων, οὕτως ἔσται καὶ
τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ. ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς
ὄχλοις, ἰδοὺ ἡ μήτηρ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω,
ζητοῦντες αὐτῷ λαλῆσαι. εἶπε δέ τις αὐτῷ· ἰδοὺ ἡ μήτηρ
σου καὶ οἱ ἀδελφοί σου, ἔξω ἑστήκασι, ζητοῦντές σοι λαλῆ-
σαι. ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ εἰπόντι αὐτῷ· τίς ἐστιν ἡ μή-
τηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; καὶ ἐκτείνας τὴν



χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· ἰδοὺ ἡ μήτηρ μου
καὶ οἱ ἀδελφοί μου. ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός
μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ
ἐστίν. Κεφ. ιγ. Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξελθὼν ὁ Ἰη- XIII
σοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν, καὶ συνή-
χθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί, ὥστε αὐτὸν εἰς τὸ πλοῖον
ἐμβάντα καθῆσθαι, καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει,
καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς λέγων· ἰδοὺ ἐξ-
ῆλθεν ὁ σπείρων τοῦ σπείρειν, καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ
μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ ἦλθε τὰ πετεινὰ, καὶ κατέφαγεν
αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν
πολλήν, καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς. ἡ-
λίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥί-
ζαν, ἐξηράνθη. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν
αἱ ἄκανθαι, καὶ ἀπέπνιξαν αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν
τὴν καλήν. καὶ ἐδίδου καρπὸν, ὃ μὲν ἑκατόν. ὃ δὲ ἑξήκον-
τα, ὃ δὲ τριάκοντα. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. καὶ προσελ-
θόντες οἱ μαθηταὶ εἶπον αὐτῷ· διὰ τί ἐν παραβολαῖς λαλεῖς
αὐτοῖς, ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, ὅτι ὑμῖν δέδοται γνῶ-
ναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ
δέδοται. ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισσευθή-
σεται, ὅστις δὲ οὐκ ἔχει καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. διὰ τοῦ-
το ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσιν,
καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσιν. καὶ ἀναπληροῦται
ἐπ' αὐτοῖς ἡ προφητεία ἡσαΐου ἡ λέγουσα· ἀκοῇ ἀκούσετε καὶ
οὐ μὴ συνῆτε καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπα-
χύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκου-
σαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μή ποτε ἴδωσι τοῖς
ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι,

καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει. ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος. παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρός, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ. οὗτός ἐστιν, ὁ παρὰ τὴν ὁδὸν σπαρείς. ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς, οὗτός ἐστιν, ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν, οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι. γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται. ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρείς, οὗτός ἐστιν, ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρείς, οὗτός ἐστιν, ὁ τὸν λόγον ἀκούων καὶ συνιών, ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ, ὁ μὲν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων. ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ, ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν αὐτοῦ ὁ ἐχθρός. καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν. ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια. προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ. κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει ζιζάνια; ὁ δὲ ἔφη αὐτοῖς, ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. οἱ δὲ δοῦλοι εἶπον αὐτῷ. θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; ὁ δὲ ἔφη. οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ, καὶ ἐν καιρῷ τοῦ θερισμοῦ, ἐρῶ τοῖς θερισταῖς. συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ



κατακαῦσαι αὐτά, τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου. ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ, ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμάτων. ὅταν δὲ αὐξηθῇ μεῖζον τῶν λαχάνων ἐστί. καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον. Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος. ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι ἀποκεκρυμμένα ἀπὸ καταβολῆς κόσμου. τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν ὁ Ἰησοῦς. καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. ὁ δὲ ἀποκριθείς, εἶπεν αὐτοῖς. ὁ σπείρων τὸ καλὸν σπέρμα, ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου. ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος. τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας, τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ. ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτά ἐστιν ὁ διάβολος. ὁ δὲ θερισμὸς συντέλεια τοῦ αἰῶνός ἐστιν. οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν. ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ κατακαίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ

κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψεν, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, καὶ πάντα ὅσα ἔχει πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας. ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχεν, καὶ ἠγόρασεν αὐτόν. Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ, ἣν ὅτε ἐπληρώθη ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν, καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Λέγει αὐτοῖς ὁ Ἰησοῦς συνήκατε ταῦτα πάντα; λέγουσιν αὐτῷ. Ναὶ κύριε. Ὁ δὲ εἶπεν αὐτοῖς. διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ παλαιά.

Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥστε ἐκπλήττεσθαι αὐτοὺς καὶ λέγειν. πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν; πόθεν οὖν τούτῳ ταῦτα πάντα; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνά-
XIIII μεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν. Κ. ιδ. Ἐν ἐκείνῳ τῷ



καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ, οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής, αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτόν, καὶ ἔθετο εἰς φυλακὴν διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης. οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ, ὅθεν μεθ' ὅρκου ὡμολόγησεν, αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς. δός μοι φησὶν ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. καὶ ἐλυπήθη ὁ βασιλεύς. διὰ δὲ τοὺς ὅρκους, καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι αὐτῇ. καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό, καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων. καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδεν πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν. Ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν, ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. οὐ χρείαν ἔχουσιν ἀπελθεῖν, δότε αὐτοῖς ὑμεῖς φαγεῖν, οἱ δὲ λέγουσιν αὐτῷ. οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους, καὶ δύο ἰχθύας. ὁ δὲ εἶπεν. φέρετέ μοι αὐτοὺς ὧδε. καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, καὶ λα-

λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς
τὸν οὐρανὸν, εὐλόγησε, καὶ κλάσας, ἔδωκε τοῖς μαθηταῖς τοὺς
ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες καὶ ἐχορ-
τάσθησαν. καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κο-
φίνους πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡς πεντακισχί-
λιοι, χωρὶς γυναικῶν καὶ παιδίων. καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰη-
σοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν
εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς
ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. ὀψίας δὲ
γενομένης, μόνος ἦν ἐκεῖ. τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσ-
σης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων, ἦν γὰρ ἐναντίος ὁ
ἄνεμος. τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς
ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης. καὶ ἰδόντες αὐτὸν οἱ
μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα, ἐταράχθησαν, λέγον-
τες, ὅτι φάντασμά ἐστι. καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως δὲ
ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων, θαρσεῖτε ἐγώ εἰμι, μὴ φο-
βεῖσθε. ἀποκριθεὶς δὲ αὐτῷ ὁ πέτρος, εἶπε. κύριε, εἰ σὺ εἶ, κέ-
λευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα. ὁ δὲ εἶπεν, ἐλθέ. καὶ
καταβὰς ἀπὸ τοῦ πλοίου ὁ πέτρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα
ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβή-
θη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξε λέγων· κύριε σῶσόν
με. εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ,
καὶ εἶπεν αὐτῷ. ὀλιγόπιστε, εἰς τί ἐδίστασας; καὶ ἐμβάντων
αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος, οἱ δὲ ἐν τῷ πλοίῳ,
ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγοντες, ἀληθῶς θεοῦ υἱὸς
εἶ. καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν γῆν γεννησαρέθ. καὶ ἐπι-
γνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου, ἀπέστειλαν εἰς ὅλην
τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς
κακῶς ἔχοντας καὶ παρεκάλουν αὐτὸν, ἵνα μόνον ἅψωνται τοῦ



κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ ὅσοι ἥψαντο, διεσώθησαν.
Κεφ. ιε. Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ ἱεροσολύ- XV
μων γραμματεῖς καὶ φαρισαῖοι, λέγοντες. διατί οἱ μαθηταί
σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ
νίπτονται τὰς χεῖρας αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν. ὁ δὲ ἀποκρι-
θεὶς, εἶπεν αὐτοῖς. διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν
τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; ὁ γὰρ θεὸς ἐνετείλατο, λέγων·
τίμα τὸν πατέρα καὶ τὴν μητέρα. καὶ ὁ κακολογῶν πατέρα ἢ μη-
τέρα, θανάτῳ τελευτάτω. ὑμεῖς δὲ λέγετε. ὃς ἂν εἴπῃ τῷ πα-
τρὶ ἢ τῇ μητρὶ, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμήσῃ
τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ. καὶ ἠκυρώσατε τὴν ἐντο-
λὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. ὑποκριταὶ, καλῶς προ-
εφήτευσε περὶ ὑμῶν ἡσαΐας, λέγων. Ἐγγίζει μοι ὁ λαὸς οὗ-
τος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία
αὐτῶν πόῤῥω ἀπέχει ἀπ᾽ ἐμοῦ, μάτην δὲ σέβονταί με, διδά-
σκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. καὶ προσκαλε-
σάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς. ἀκούετε καὶ συνίετε. οὐ τὸ
εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπο-
ρευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον. τότε προ-
σελθόντες οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ. οἶδας ὅτι φαρισαῖοι,
ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν; Ὁ δὲ ἀποκριθεὶς εἶ-
πεν. πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος,
ἐκριζωθήσεται. ἄφετε αὐτούς, ὁδηγοί εἰσι, τυφλοὶ τυφλῶν,
τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦν-
ται. ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπεν αὐτῷ, φράσον ἡμῖν τὴν
παραβολὴν ταύτην. ὁ δὲ Ἰησοῦς εἶπεν, ἀκμὴν καὶ ὑμεῖς ἀσύνε-
τοί ἐστε, οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα,
εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; τὰ δὲ ἐκ-
πορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται κἀκεῖ-

τὰ κοινοῖ τὸν ἄνθρωπον. ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογι-
σμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρ-
τυρίαι, βλασφημίαι, ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον·
τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον. Καὶ ἐξελ-
θὼν ἐκεῖθεν ὁ Ἰησοῦς, ἀνεχώρησεν, εἰς τὰ μέρη τύρου καὶ σι-
δῶνος, καὶ ἰδοὺ γυνὴ χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελ-
θοῦσα ἐκραύγασεν αὐτῷ λέγουσα, ἐλέησόν με κύριε υἱὲ δαβίδ,
θυγάτηρ μου κακῶς δαιμονίζεται, ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λό-
γον. καὶ προσελθόντες, οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν λέγον-
τες, ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ὁ δὲ ἀποκρι-
θεὶς εἶπεν, οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλό-
τα οἴκου ἰσραήλ. ἡ δὲ ἐλθοῦσα προσεκύνησεν αὐτῷ λέγουσα,
κύριε βοήθει μοι. ὁ δὲ ἀποκριθεὶς, εἶπεν, οὐκ ἔστι καλὸν, λα-
βεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ εἶ-
πεν ναὶ κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν
πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. τότε ἀπο-
κριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, ὦ γύναι μεγάλη σου ἡ πίστις, γε-
νηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥ-
ρας ἐκείνης. καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς ἦλθε παρὰ τὴν θά-
λασσαν τῆς γαλιλαίας καὶ ἀναβὰς εἰς τὸ ὄρος, ἐκάθητο ἐκεῖ, καὶ
προσῆλθον πρὸς αὐτὸν ὄχλοι πολλοί, ἔχοντες μεθ' ἑαυτῶν, χω-
λούς, τυφλούς, κωφούς, κυλλούς, καὶ ἑτέρους πολλούς, καὶ
ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐθεράπευσεν αὐ-
τούς, ὥστε τοὺς ὄχλους θαυμάσαι βλέποντας κωφοὺς λαλοῦν-
τας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, τυφλοὺς βλέπον-
τας· καὶ ἐδόξασαν τὸν θεὸν ἰσραήλ. Ὁ δὲ Ἰησοῦς προσκαλεσά-
μενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν, σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον,
ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φά-
γωσι, καὶ ἀπολῦσαι αὐτοὺς νήστεις, οὐ θέλω, μήποτε ἐκλυθῶ-



σιν ἐν τῇ ὁδῷ, καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, πόθεν
ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦ-
τον; καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, πόσους ἄρτους ἔχετε; Οἱ δὲ
εἶπον, ἑπτὰ καὶ ὀλίγα ἰχθύδια. καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπε-
σεῖν ἐπὶ τὴν γῆν. καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας,
εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ. οἱ δὲ μα-
θηταὶ τῷ ὄχλῳ, καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν, καὶ
ἦραν τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρίδας πλήρεις
οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν
καὶ παιδίων, καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ πλοῖον.
καὶ ἦλθεν εἰς τὰ ὅρια μαγδαλά. Κεφ. ις. Καὶ προσελ- XVI
θόντες οἱ φαρισαῖοι καὶ σαδδουκαῖοι, πειράζοντες ἐπηρώτη-
σαν αὐτὸν. σημεῖον ἐκ τοῦ οὐρανοῦ δεῖξαι αὐτοῖς, ὁ δὲ ἀποκριθεὶς
εἶπεν αὐτοῖς, ὀψίας γενομένης λέγετε, εὐδία, πυῤῥάζει γὰρ ὁ
οὐρανὸς, καὶ πρωῒ, σήμερον χειμὼν. πυῤῥάζει γὰρ ὁ οὐρανὸς
στυγνάζων. ὑποκριταὶ, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε
διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε; γενεὰ πονηρὰ καὶ
μοιχαλὶς σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ
τὸ σημεῖον ἰωνᾶ τοῦ προφήτου, καὶ καταλιπὼν αὐτοὺς, ἀπῆλθεν, καὶ
ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λα-
βεῖν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς
ζύμης τῶν φαρισαίων καὶ σαδδουκαίων. οἱ δὲ διελογίζοντο
ἐν ἑαυτοῖς λέγοντες, ὅτι ἄρτους οὐκ ἐλάβομεν. γνοὺς δὲ ὁ
Ἰησοῦς εἶπεν αὐτοῖς. τί διαλογίζεσθε ἐν ἑαυτοῖς ὀλιγόπιστοι, ὅ-
τι ἄρτους οὐκ ἐλάβετε; οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέν-
τε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε. οὐ-
δὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλά-
βετε; πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν. προσέχετε ἀπὸ
τῆς ζύμης τῶν φαρισαίων καὶ σαδδουκαίων; Τότε συνῆκαν,

ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ᾽ ἀπὸ
τῆς διδαχῆς τῶν φαρισαίων καὶ σαδδουκαίων. Ἐλθὼν δὲ
ὁ Ἰησοῦς εἰς τὰ μέρη καισαρείας τῆς φιλίππου, ἠρώτα τοὺς μα-
θητὰς αὐτοῦ λέγων· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν
τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· οἱ μὲν, ἰωάννην τὸν βαπτιστήν, ἀλ-
λοι δὲ ἠλίαν, ἕτεροι δὲ ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. λέγει αὐ-
τοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ σίμων
πέτρος εἶπε· Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ἀπο-
κριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Μακάριος εἶ σίμων βὰρ ἰωνᾶ,
ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν τοῖς
οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ πέτρος, καὶ ἐπὶ ταύτῃ
τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ
κατισχύσουσιν αὐτῆς. Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασι-
λείας τῶν οὐρανῶν. καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσαι δεδε-
μένον ἐν τοῖς οὐρανοῖς. καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσαι λε-
λυμένον ἐν τοῖς οὐρανοῖς. Τότε διεστείλατο τοῖς μαθηταῖς
αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός.
Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι
δεῖ αὐτὸν ἀπελθεῖν εἰς ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν, ἀπὸ τῶν
πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτα-
θῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. καὶ προσλαβόμενος αὐτὸν
ὁ πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων· ἵλεώς σοι κύριε, οὐ
μὴ ἔσαι σοι τοῦτο. ὁ δὲ στραφεὶς, εἶπε τῷ πέτρῳ· ὕπαγε ὀπίσω
μου σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλ-
λὰ τὰ τῶν ἀνθρώπων. Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐ-
τοῦ· εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ
ἀράτω τὸν σαυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέ-
λῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ᾽ ἂν ἀπο-
λέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Τί γὰρ ὠφε-



λεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ
ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα
τῆς ψυχῆς αὐτοῦ; Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι
ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. καὶ τό-
τε ἀποδώσει ἑκάσῳ, κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἀμὴν λέγω ὑ-
μῖν, εἰσί τινες ὧδε ἑσώτων οἵτινες οὐ μὴ γεύσονται θανάτου,
ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ
αὐτοῦ. Κεφά. ιζ. Καὶ μεθ᾽ ἡμέρας ἓξ, παραλαμβάνει XVII
ὁ Ἰησοῦς τὸν πέτρον καὶ ἰάκωβον καὶ ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ,
καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν, καὶ μεμεμόρ-
φώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ
ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. καὶ ἰδοὺ
ὤφθησαν αὐτοῖς μωσῆς καὶ ἠλίας, μετ᾽ αὐτοῦ συλλαλοῦντες.
ἀποκριθεὶς δὲ ὁ πέτρος, εἶπε τῷ Ἰησοῦ. Κύριε καλόν ἐστιν ἡμᾶς
ὧδε εἶναι. εἰ θέλεις ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ
μωσῇ μίαν, καὶ ἠλίᾳ μίαν. ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φω-
τεινὴ ἐπεσκίασεν αὐτούς. καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγου-
σα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀ-
κούετε. καὶ ἀκούσαντες οἱ μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον
αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο
αὐτῶν. καὶ εἶπεν· Ἐγέρθητε καὶ μὴ φοβεῖσθε. ἐπάραντες δὲ τοὺς
ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον, εἰ μὴ τὸν Ἰησοῦν μόνον, καὶ
καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς
λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου
ἐκ νεκρῶν ἀνασῇ. Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέ-
γοντες. Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι ἠλίαν δεῖ ἐλθεῖν
πρῶτον; Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· ἠλίας μὲν
ἔρχεται πρῶτον, καὶ ἀποκαταστήσει πάντα. Λέγω δὲ ὑμῖν, ὅτι
ἠλίας ἤδη ἦλθεν, καὶ οὐκ ἐπέγνωσαν αὐτὸν, ἀλλ᾽ ἐποίησαν ἐν

αὐτῷ, ὅσα ἠθέλησαν. οὕτως καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. τότε συνῆκαν οἱ μαθηταί, ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς. καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπός τις γονυπετῶν αὐτῷ, καὶ λέγων. Κύριε ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει, πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ, καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν. ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν ὧδε. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον, καὶ ἐθεραπεύθη ὁ παῖς, ἀπὸ τῆς ὥρας ἐκείνης. Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον. διὰ τί ἡμεῖς, οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, διὰ τὴν ἀπιστίαν ὑμῶν. Ἀμὴν γὰρ λέγω ὑμῖν. ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται. καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται, Καὶ ἐλυπήθησαν σφόδρα. Ἐλθόντων δὲ αὐτῶν εἰς καπερναούμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ πέτρῳ, καὶ εἶπον, ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; Λέγει, Ναί. καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων. τί σοι δοκεῖ σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον, ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; λέγει αὐτῷ ὁ πέτρος, ἀπὸ τῶν ἀλλοτρίων. ἔφη αὐτῷ ὁ Ἰησοῦς, ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί. ἵνα δὲ μὴ σκανδαλίσωμεν



αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν. βάλλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα, ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

Κεφάλ. ιη. Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰ- XVIII
ησοῦ, λέγοντες. Τίς ἄρα μείζων ἐστὶ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ εἶπεν. Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὅστις οὖν ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται. εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτόν, καὶ βάλλε ἀπὸ σοῦ. καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωήν, χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα, βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. καὶ εἰ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτόν, καὶ βάλε ἀπὸ σοῦ. καλόν σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐννενηκονταεννέα ἐπὶ τὰ ὄρη, πορευθεὶς ζητεῖ τὸ πλανώμενον; καὶ ἐὰν γένηται εὑρεῖν αὐτό,

ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα τοῖς μὴ πεπλανημένοις. οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται ἓν τῶν μικρῶν τούτων. ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ, ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Πάλιν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπε, κύριε ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; λέγει αὐτῷ Ἰησοῦς· οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. πεσὼν οὖν ὁ δοῦλος, προσεκύνει αὐτῷ λέγων. Κύριε μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω. σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρε

ἕνα



ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· ἀπόδος μοι, ὅ,τι ὀφείλεις. πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων. Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα ἀποδώσω σοι. Ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα. Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ. Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

Κεφ. ιθ. XIX

Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ. Καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ· εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς; καὶ εἶπεν, ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὥστε οὐκ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Λέγουσιν αὐτῷ· τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν; Λέγει αὐτοῖς, ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν

ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, ἀπ' ἀρχῆς δὲ
οὐ γέγονεν οὕτως. Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυ-
ναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται.
καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται. Λέγουσιν αὐτῷ
οἱ μαθηταὶ αὐτοῦ. Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς
γυναικός, οὐ συμφέρει γαμῆσαι. ὁ δὲ εἶπεν αὐτοῖς, οὐ πάντες
χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται. εἰσὶ γὰρ εὐνοῦχοι,
οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως. καὶ εἰσὶν εὐνοῦ-
χοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων. καὶ εἰσὶν εὐ-
νοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν
οὐρανῶν. ὁ δυνάμενος χωρεῖν, χωρείτω. τότε προσηνέχθη
αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται.
οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς, ὁ δὲ Ἰησοῦς εἶπεν. ἄφετε
τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοι-
ούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ἐπιθεὶς αὐτοῖς τὰς
χεῖρας, ἐπορεύθη ἐκεῖθεν. Καὶ ἰδοὺ εἷς προσελθὼν, εἶπεν
αὐτῷ. Διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν
αἰώνιον; ὁ δὲ εἶπεν αὐτῷ. τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς
εἰ μὴ εἷς ὁ θεός. εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον
τὰς ἐντολάς. Λέγει αὐτῷ, ποίας; ὁ δὲ Ἰησοῦς εἶπεν. τό, οὐ
φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις
τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀγαπήσεις τὸν πλησίον
σου ὡς σεαυτόν. Λέγει αὐτῷ ὁ νεανίσκος. πάντα ταῦτα ἐφυ-
λαξάμην ἐκ νεότητός μου. τί ἔτι ὑστερῶ; ἔφη αὐτῷ ὁ Ἰησοῦς. εἰ θέ-
λεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς
πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι.
ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον ἀπῆλθε λυπούμενος, ἦν γὰρ
ἔχων κτήματα πολλά. ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ.
Ἀμὴν λέγω ὑμῖν, ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς



τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ πάλιν λέγω ὑμῖν, εὐκοπώτε-
ρόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον
εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. ἀκούσαντες δὲ οἱ μαθη-
ταὶ αὐτοῦ, ἐξεπλήσσοντο σφόδρα. λέγοντες, τίς ἄρα δύνα-
ται σωθῆναι; ἐμβλέψας δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. παρὰ ἀνθρώ-
ποις τοῦτο ἀδύνατόν ἐστιν, παρὰ δὲ θεῷ πάντα δυνατά ἐστι. Τό-
τε ἀποκριθεὶς ὁ Πέτρος, εἶπεν αὐτῷ. ἰδοὺ ἡμεῖς ἀφήκαμεν
πάντα, καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν; Ὁ δὲ Ἰησοῦς
εἶπεν αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές
μοι ἐν τῇ παλιγγενεσίᾳ. ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ
θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους
κρίνοντες, τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ πᾶς ὃς ἀφῆκεν
οἰκίας, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυ-
ναῖκα, ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατοντα-
πλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. πολλοὶ
δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι. Κεφ. κ. XX
Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκο-
δεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς
τὸν ἀμπελῶνα αὐτοῦ. συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ
δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα
αὐτοῦ. καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶ-
τας ἐν τῇ ἀγορᾷ ἀργούς, καὶ ἐκείνοις εἶπεν. ὑπάγετε καὶ ὑμεῖς
εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. οἱ δὲ ἀ-
πῆλθον. πάλιν δὲ ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίη-
σεν ὡσαύτως. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν. εὗρεν
ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς, τί ὧδε ἑστήκατε ὅ-
λην τὴν ἡμέραν ἀργοί; λέγουσιν αὐτῷ, ὅτι οὐδεὶς ἡμᾶς ἐμι-
σθώσατο. λέγει αὐτοῖς. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶ-
να. καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. ὀψίας δὲ γενομένης, λέγει ὁ

κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. καὶ ἐλθόντες, οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλεῖον λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες· ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα. ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν, ἑταῖρε, οὐκ ἀδικῶ σε, οὐχὶ δηναρίου συνεφώνησάς μοι; ἆρον τὸ σὸν, καὶ ὕπαγε. θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι, καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι, καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς προσκυνοῦσα καὶ αἰτοῦσά τι παρ' αὐτοῦ. ὁ δὲ εἶπεν αὐτῇ· τί θέλεις; λέγει αὐτῷ· εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων ἐν τῇ βασιλείᾳ σου. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν; καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; λέγουσιν αὐτῷ, δυνάμεθα. καὶ λέγει αὐτοῖς· τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ

Allegoria



ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου. καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, εἶπεν· οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. οὐχ οὕτως ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος, καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος. ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχῶ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. Καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες, ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες· ἐλέησον ἡμᾶς κύριε υἱὲ Δαβίδ. ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς, ἵνα σιωπήσωσιν, οἱ δὲ μεῖζον ἔκραξαν, λέγοντες· ἐλέησον ἡμᾶς κύριε υἱὲ Δαβίδ. Καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς, καὶ εἶπεν· τί θέλετε ποιήσω ὑμῖν; λέγουσιν αὐτῷ· κύριε, ἵνα ἀνοιχθῶσιν ὑμῶν οἱ ὀφθαλμοί. σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς, ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἠκολούθησαν αὐτῷ.

Κεφ. κα. XXI

Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγὴ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς, λέγων αὐτοῖς, πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς, λύσαντες ἀγάγετέ μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε, ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει. εὐθέως δὲ ἀποστελεῖ αὐτούς. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· εἴπατε τῇ θυγατρὶ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾳὸς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον, καὶ τὸν πῶ-

λῶν, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθι-
σεν ἐπάνω αὐτῶν. ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμά-
τια ἐν τῇ ὁδῷ. ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων,
καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ
ἀκολουθοῦντες ἔκραζον, λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαβίδ.
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν τοῖς
ὑψίστοις. καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶ-
σα ἡ πόλις, λέγουσα· τίς ἐστιν οὗτος; οἱ δὲ ὄχλοι ἔλεγον,
οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας.
καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας
τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέ-
ζας τῶν κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν πω-
λούντων τὰς περιστεράς, καὶ λέγει αὐτοῖς· γέγραπται· ὁ οἶ-
κός μου οἶκος προσευχῆς κληθήσεται. ὑμεῖς δὲ αὐτὸν ἐποι-
ήσατε σπήλαιον λῃστῶν. καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χω-
λοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς. ἰδόντες οἱ ἀρχιε-
ρεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησεν, καὶ τοὺς παῖ-
δας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας· ὡσαννὰ τῷ υἱῷ
Δαβίδ, ἠγανάκτησαν καὶ εἶπον αὐτῷ, ἀκούεις τί οὗτοι λέγου-
σιν; ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς· ναί, οὐδέποτε ἀνέγνωτε ὅτι ἐκ
στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; καὶ καταλι-
πὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐ-
κεῖ. πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασεν, καὶ ἰδὼν
συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ᾽ αὐτήν. καὶ οὐδὲν εὗρεν ἐν αὐ-
τῇ, εἰ μὴ φύλλα μόνον, καὶ λέγει αὐτῇ. μηκέτι ἐκ σοῦ καρπὸς γέ-
νηται εἰς τὸν αἰῶνα, καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ, καὶ ἰδόντες
οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες· πῶς παραχρῆμα ἐξηράνθη ἡ
συκῆ; ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν,
ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσε-



τε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς
τὴν θάλασσαν, γενήσεται. καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προ-
σευχῇ πιστεύοντες, λήψεσθε. καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερόν, προ-
σῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ
λαοῦ λέγοντες, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδω-
κε τὴν ἐξουσίαν ταύτην; ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. ἐ-
ρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα. ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν
ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. τὸ βάπτισμα Ἰωάννου πόθεν
ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; οἱ δὲ διελογίζοντο παρ᾽ ἑαυτοῖς
λέγοντες. ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν· διὰ τί οὖν οὐκ
ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων, φοβούμεθα
τὸν ὄχλον. πάντες γὰρ εἶχον τὸν Ἰωάννην ὡς προφήτην. καὶ
ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον. οὐκ οἴδαμεν. ἔφη αὐτοῖς καὶ αὐ-
τός. οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. τί δὲ
ὑμῖν δοκεῖ; ἄνθρωπος εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώ-
τῳ εἶπεν, τέκνον ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου.
ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐ θέλω. ὕστερον δὲ μεταμεληθείς, ἀπῆλ-
θεν. καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν ὡσαύτως. ὁ δὲ ἀποκρι-
θείς, εἶπεν ἐγὼ κύριε, καὶ οὐκ ἀπῆλθεν. τίς ἐκ τῶν δύο ἐποίησε
τὸ θέλημα τοῦ πατρός; λέγουσιν αὐτῷ. ὁ πρῶτος. λέγει αὐτοῖς
ὁ Ἰησοῦς. ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προά-
γουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ. ἦλθε γὰρ πρὸς ὑμᾶς
Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ, οἱ δὲ
τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ. ὑμεῖς δὲ ἰδόντες, οὐ
μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ. Ἄλλην παραβολὴν ἀ-
κούσατε. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης ὅστις ἐφύτευσεν
ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκεν, καὶ ὤρυξεν ἐν αὐτῷ
ληνόν, καὶ ᾠκοδόμησεν πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς
καὶ ἀπεδήμησεν. ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστει-

λε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργούς, λαβεῖν τοὺς καρ-
ποὺς αὐτοῦ, καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ. ὃν μὲν
ἔδειραν. ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστει-
λεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς
ὡσαύτως. ὕστερον δὲ ἀπέστειλεν πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέ-
γων. ἐντραπήσονται τὸν υἱόν μου. οἱ δὲ γεωργοὶ ἰδόντες τὸν
υἱόν, εἶπον ἐν ἑαυτοῖς, οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀπο-
κτείνωμεν αὐτόν, καὶ κατασχῶμεν τὴν κληρονομίαν αὐτοῦ. καὶ λα-
βόντες αὐτόν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. ὅταν
οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωρ-
γοῖς ἐκείνοις; λέγουσιν αὐτῷ, κακοὺς κακῶς ἀπολέσει αὐ-
τούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσει ἄλλοις γεωργοῖς, οἵτινες ἀ-
ποδώσουσιν αὐτῷ τοὺς καρπούς, ἐν τοῖς καιροῖς αὐτῶν. λέγει
αὐτοῖς ὁ Ἰησοῦς. οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς; λίθον
ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφα-
λὴν γωνίας, παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφ-
θαλμοῖς ἡμῶν; διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ
βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐ-
τῆς. καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται, ἐφ' ὃν δ' ἂν
πέσῃ, λικμήσει αὐτόν. καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ φαρι-
σαῖοι τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν, ὅτι περὶ αὐτῶν λέγει. καὶ ζη-
τοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς
προφήτην αὐτὸν εἶχον, καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν αὐ-
XXII τοῖς ἐν παραβολαῖς, λέγων. Κ. κβ. Ὁμοιώθη ἡ βασιλεία τῶν οὐ-
ρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ
καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ, καλέσαι τοὺς κεκλημένους εἰς
τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. Πάλιν ἀπέστειλεν ἄλλους δού-
λους, λέγων. εἴπατε τοῖς κεκλημένοις. ἰδοὺ τὸ ἄριστόν μου ἡτοί-
μασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα.



δεῦτε εἰς τοὺς γάμους. οἱ δὲ ἀμελήσαντες, ἀπῆλθον, ὁ μὲν εἰς
τὸν ἴδιον ἀγρόν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ, οἱ δὲ λοιποὶ κρατή-
σαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν καὶ ἀπέκτειναν. ἀκούσας δὲ ὁ
βασιλεύς, ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλε-
σε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν. τότε λέ-
γει τοῖς δούλοις αὐτοῦ. ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημέ-
νοι οὐκ ἦσαν ἄξιοι. πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν,
καὶ ὅσους ἐὰν εὕρητε, καλέσατε εἰς τοὺς γάμους. καὶ ἐξελθόντες
οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδούς, συνήγαγον πάντας ὅσους εὗ-
ρον πονηρούς τε καὶ ἀγαθούς, καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων
εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους εἶδεν ἐκεῖ ἄν-
θρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου, καὶ λέγει αὐτῷ. ἑταῖρε,
πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. τό-
τε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις. δήσαντες αὐτοῦ πόδας καὶ
χεῖρας, ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυ-
θμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι
δὲ ἐκλεκτοί. Τότε πορευθέντες οἱ φαρισαῖοι συμβούλιον ἔλαβον
ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς
μαθητὰς αὐτῶν μετὰ τῶν ἡρῳδιανῶν, λέγοντες. Διδάσκαλε,
οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδά-
σκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός. Οὐ γὰρ βλέπεις εἰς πρόσω-
πον ἀνθρώπων. εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆν-
σον καίσαρι, ἢ οὔ; γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπεν.
τί με πειράζετε ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήν-
σου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. καὶ λέγει αὐτοῖς. τίνος
ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή; λέγουσιν αὐτῷ, καίσαρος. Τότε
λέγει αὐτοῖς. ἀπόδοτε οὖν τὰ καίσαρος, καίσαρι, καὶ τὰ τοῦ θε-
οῦ, τῷ θεῷ. καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀ-
πῆλθον. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ σαδδουκαῖοι,

οἱ λέγοντες, μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· διδάσκαλε, μωσῆς εἶπεν, ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. ἦσαν δὲ παρ᾽ ἡμῖν ἑπτὰ ἀδελφοί, καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησεν, καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος ἕως τῶν ἑπτά. ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. ἐν τῇ οὖν ἀναστάσει, τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ ἔσχον αὐτήν. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ᾽ ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ εἰσιν. περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ λέγοντος· ἐγώ εἰμι ὁ θεὸς ἀβραάμ, καὶ ὁ θεὸς ἰσαάκ, καὶ ὁ θεὸς ἰακώβ. οὐκ ἔστιν ὁ θεός, θεὸς νεκρῶν, ἀλλὰ ζώντων. καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. οἱ δὲ φαρισαῖοι ἀκούσαντες, ὅτι ἐφίμωσε τοὺς σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό, καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικός τις, πειράζων αὐτόν, καὶ λέγων· διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἀγαπήσεις κύριον τὸν θεόν σου ἐν ὅλῃ καρδίᾳ σου, καὶ ἐν ὅλῃ ψυχῇ σου, καὶ ἐν ὅλῃ διανοίᾳ σου. αὕτη ἐστὶν πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος, καὶ οἱ προφῆται κρέμανται. συνηγμένων δὲ τῶν φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων, τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν; λέγουσιν αὐτῷ, τοῦ δαβίδ. λέγει αὐτοῖς· πῶς οὖν δαβὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ, λέγων· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν



σου. εἰ οὖν δαβὶδ καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον· οὐδὲ ἐτόλμησέ τις ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι. Κεφ. κγ. XXIII

Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ, λέγων· ἐπὶ τῆς μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. λέγουσι γὰρ καὶ οὐ ποιοῦσι. δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν. φιλοῦσί τε τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββί. ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί. εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς ὁ Χριστός. πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς. εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. μηδὲ κληθῆτε καθηγηταί, εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητής, ὁ Χριστός. ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος. ὅστις δὲ ὑψώσει ἑαυτόν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσει ἑαυτόν, ὑψωθήσεται. Οὐαὶ δὲ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι, διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα. οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηράν, ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν

ἂν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. Οὐαὶ ὑμῖν ὁδηγοὶ τυφλοὶ, οἱ λέγοντες, ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. μωροὶ καὶ τυφλοὶ, τίς γὰρ μείζων ἐστὶν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν. καὶ ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. μωροὶ καὶ τυφλοὶ, τί γὰρ μεῖζον, τὸ δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ· καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικοῦντι αὐτόν. καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. ὁδηγοὶ τυφλοὶ, οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες. οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας. φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν. οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. οὕτω καὶ ὑμεῖς, ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε· εἰ ἤμεθα ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι



τῶν προφητῶν. ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας, καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. ὄφεις, γεννήματα ἐχιδνῶν πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν, ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος ζαχαρίου υἱοῦ βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. ἱερουσαλὴμ ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Κεφ. κδ. XXIIII

Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ, καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. ὁ δὲ Ἰησοῦς, εἶπεν αὐτοῖς. Οὐ βλέπετε πάντα ταῦτα; Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ καταλυθήσεται. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες. εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς, βλέπετε, μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων, ὁρᾶτε

μὴ θροεῖσθε. δεῖ γὰρ τὰ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος.
ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν,
καὶ ἔσονται λιμοί, καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους. πάντα
δὲ ταῦτα ἀρχὴ ὠδίνων. τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν
καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν
ἐθνῶν διὰ τὸ ὄνομά μου. καὶ τότε σκανδαλισθήσονται πολλοί, καὶ
ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους, καὶ πολλοὶ
ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς, καὶ
διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.
ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται
τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύ-
ριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος. 15 Ὅταν οὖν ἴδητε
τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προ-
φήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων, νοείτω, 16 τότε οἱ ἐν
τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη. ὁ ἐπὶ τοῦ δώματος, μὴ κα-
ταβαινέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐ-
πιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γα-
στρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.
20 προσεύχεσθε δέ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ
ἐν σαββάτῳ. 21 ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ'
ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται. 22 καὶ εἰ μὴ ἐκολοβώ-
θησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ, διὰ δὲ
τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. 23 Τότε ἐάν
τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ χριστός, ἢ ὧδε, μὴ πιστεύσητε. 24 ἐγερ-
θήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα
μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκ-
τούς. ἰδοὺ προείρηκα ὑμῖν. 26 ἐὰν οὖν εἴπωσιν ὑμῖν, ἰδοὺ ἐν τῇ
ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε, ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε.
27 ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως

attrahatur vastatio a loco
a [illegible]
a tempore
a temporali
ab effectu
2da parra relig. per falsa dogmata seducet, per falsa miracula
Admonitio
omnis causa a morte adventus [illegible], velox fuit fulgur



δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὅπου γὰρ
ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. εὐθέως δὲ μετὰ τὴν
θλῖψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη
οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ,
καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ τότε φανήσεται τὸ
σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶ-
σαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου, ἐρχόμενον
ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς
καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγά-
λης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσά-
ρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν. ἀπὸ δὲ τῆς συ-
κῆς μάθετε τὴν παραβολήν, ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται
ἁπαλός, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. οὕ-
τω καὶ ὑμεῖς ὅταν ἴδητε πάντα ταῦτα, γινώσκετε ὅτι ἐγγύς
ἐστιν ἐπὶ θύραις. ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕ-
τη, ἕως ἂν πάντα ταῦτα γένηται. ὁ οὐρανὸς καὶ ἡ γῆ παρε-
λεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. περὶ δὲ τῆς ἡμέρας ἐ-
κείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ
μὴ ὁ πατήρ μου μόνος. ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται
καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέ-
ραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ, τρώγοντες καὶ πίνοντες, γα-
μοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς
τὴν κιβωτόν, καὶ οὐκ ἔγνωσαν, ἕως ἦλθεν ὁ κατακλυσμός, καὶ ἦ-
ρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς
ἀφίεται. δύο ἀλήθουσαι ἐν τῷ μύλωνι, μία παραλαμβάνεται, καὶ
μία ἀφίεται. γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος
ὑμῶν ἔρχεται. ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης,
ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασε

διορυχθῆναι τὴν οἰκίαν αὐτοῦ. διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοι-
μοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. τίς
ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύρι-
ος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν
καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐ-
τοῦ, εὑρήσει ποιοῦντα οὕτως, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι
τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ ὁ κα-
κὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου
ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους, ἐσθίειν καὶ πίνειν με-
τὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ, ᾗ οὐ
προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ
μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ
XXV βρυγμὸς τῶν ὀδόντων. Κεφ. Κε. Τότε ὁμοιωθήσεται ἡ βασι-
λεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμ-
πάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πέντε δὲ ἦ-
σαν ἐξ αὐτῶν μωραί, καὶ αἱ πέντε φρόνιμοι. αἵτινες μωραὶ
λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔ-
λαιον, αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν με-
τὰ τῶν λαμπάδων. χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶ-
σαι καὶ ἐκάθευδον. μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν, ἰδοὺ ὁ
νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. τότε ἠγέρ-
θησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπά-
δας αὐτῶν. αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον, δότε ἡμῖν
ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ἀπεκρί-
θησαν δὲ αἱ φρόνιμοι λέγουσαι, μή ποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ
ὑμῖν, πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσ-
ατε ἑαυταῖς. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμ-
φίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ
ἐκλείσθη ἡ θύρα. ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι,
λέγουσαι.



λέγουσαι. Κύριε, κύριε, ἄνοιξον ἡμῖν. ὁ δὲ ἀποκριθεὶς, εἶπεν.
Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. γρηγορεῖτε οὖν ὅτι οὐκ οἴ-
δατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρ-
χεται. Ὥσπερ γὰρ ἄνθρωπός τις ἀποδημῶν, ἐκάλεσε τοὺς
ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ. καὶ
ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἓν, ἑκάστῳ κατὰ τὴν
ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. πορευθεὶς δὲ ὁ τὰ
πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν
ἄλλα πέντε τάλαντα. ὡσαύτως καὶ ὁ τὰ δύο ἐκέρδησε καὶ αὐτὸς
ἄλλα δύο. ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ. καὶ ἀπέ-
κρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. μετὰ δὲ χρόνον πολὺν ἔρ-
χεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν
λόγον. καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν, προσήνεγκεν
ἄλλα πέντε τάλαντα, λέγων. Κύριε, πέντε τάλαντά μοι παρέ-
δωκας, ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐν αὐτοῖς. ἔφη δὲ
αὐτῷ ὁ κύριος αὐτοῦ. Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς
πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυ-
ρίου σου. προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπεν.
Κύριε, δύο τάλαντά μοι παρέδωκας, ἴδε ἄλλα δύο τάλαντα
ἐκέρδησα ἐπ' αὐτοῖς. ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ. Εὖ δοῦλε ἀ-
γαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω.
εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν
τάλαντον λαβὼν, εἶπεν. Κύριε, ἔγνων σε ὅτι αὐστηρὸς εἶ ἄνθρω-
πος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διε-
σκόρπισας, καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν
τῇ γῇ, ἴδε ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν
αὐτῷ. Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔ-
σπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα, ἔδει οὖν σε βαλεῖν τὸ
ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ

ἐμὸν σὺν τόκῳ. ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ
ἔχοντι τὰ δέκα τάλαντα. τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ πε-
ρισσευθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐ-
τοῦ. καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον.
ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ὅταν δὲ ἔλ-
θῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγ-
γελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συνα-
χθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ'
ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρί-
φων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια
ἐξ εὐωνύμων. τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ. δεῦ-
τε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμα-
σμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα
γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ ἐποτίσατέ με.
ξένος ἤμην, καὶ συνηγάγετέ με. γυμνὸς, καὶ περιεβάλετέ με.
ἠσθένησα, καὶ ἐπεσκέψασθέ με. ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε
πρός με. τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες.
κύριε, πότε σὲ εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ
ἐποτίσαμεν; πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν; ἢ
γυμνὸν καὶ περιεβάλομεν; πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυ-
λακῇ, καὶ ἤλθομεν πρός σε; καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐ-
τοῖς. Ἀμὴν λέγω ὑμῖν. ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελ-
φῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐω-
νύμων. πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον,
τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα
γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ
με. ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με. γυμνὸς, καὶ οὐ περιεβάλ-
λετέ με. ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε
ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ λέγοντες. κύριε, πότε σε εἴδομεν



πεινῶντα ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ,
καὶ οὐ διηκονήσαμέν σοι; τότε ἀποκριθήσεται αὐτοῖς λέγων, ἀ-
μὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων
οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον,
οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Κ. κϛ. Καὶ ἐγένετο, ὅτε ἐτέλε- XXVI
σεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς Christi
αὐτοῦ. οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. Τότε συνήχθησαν
οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς
τὴν αὐλὴν τοῦ ἀρχιερέως, τοῦ λεγομένου καϊάφα, καὶ συνεβουλεύσαν-
το, ἵνα τὸν Ἰησοῦν κρατήσωσι δόλῳ, καὶ ἀποκτείνωσιν. Ἔλεγον δὲ,
μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ. Τοῦ δὲ Ἰησοῦ γε-
νομένου ἐν βηθανίᾳ ἐν οἰκίᾳ σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐ-
τῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγα-
νάκτησαν, λέγοντες. Εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ
μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς. γνοὺς δὲ ὁ Ἰησοῦς
εἶπεν αὐτοῖς. τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ κα-
λὸν εἰργάσατο εἰς ἐμέ. πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ'
ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦ-
το ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν.
Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ
τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον
αὐτῆς. τότε πορευθεὶς εἷς τῶν δώδεκα, λεγόμενος ἰούδας ὁ
ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν. τί θέλετέ μοι δοῦ-
ναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκον-
τα ἀργύρια. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ. Τῇ
δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες
αὐτῷ. ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; ὁ δὲ

εἶπεν, ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· ὁ διδάσκαλος λέγει· ὁ καιρός μου ἐγγύς ἐστι, πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου. καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ πάσχα. ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα. καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· μήτι ἐγώ εἰμι κύριε; ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. ἀποκριθεὶς δὲ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν εἶπεν· μήτι ἐγώ εἰμι ῥαββί; λέγει αὐτῷ, σὺ εἶπας. Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπεν· Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. λέγω δὲ ὑμῖν, οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. Γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ



νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Λέγει αὐτῷ ὁ Πέτρος· κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον. τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς, καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ. καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος, καὶ λέγων· πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς σύ. Καὶ ἔρχεται πρὸς τοὺς μαθητάς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. πάλιν ἐκ δευτέρου ἀπελθὼν, προσηύξατο λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. καὶ ἐλθὼν, εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας, ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν, προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών. Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς· καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε, ἰδοὺ ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. ἐγείρεσθε, ἄγωμεν, ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με. καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθεν, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον λέγων, ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν. καὶ εὐθέως

προσελθὼν τῷ Ἰησοῦ εἶπε· Χαῖρε ῥαββί. Καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ὃ πάρει; τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς. πάντες γὰρ οἱ λαμβάνοντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; Πῶς οὖν πληρωθῶσιν αἱ γραφαί, ὅτι οὕτω δεῖ γενέσθαι; ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις, ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν, καὶ ξύλων συλλαβεῖν με, καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην, διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον. οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι συνήχθησαν. ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσιν, καὶ οὐχ εὗρον, καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶπον· οὗτος ἔφη· δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ Ἰησοῦς ἐσιώπα. καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ. ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ.

Λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας. Πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων, ὅτι ἐβλασφήμησε. Τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ, τί ὑμῖν δοκεῖ; οἱ δὲ ἀποκριθέντες, εἶπον· ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν. οἱ δὲ ἐρράπισαν λέγοντες· προφήτευσον ἡμῖν Χριστέ, τίς ἐστιν ὁ παίσας σε; ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέγων· οὐκ οἶδα τί λέγεις. ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ, καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου, καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ, καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ, εἰρηκότος αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. καὶ ἐξελθὼν ἔξω,
ἔκλαυσε πικρῶς. Κεφ. κζ. Πρωΐας δὲ γενομένης, συμβούλι- XXVII
ον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν. καὶ δήσαντες αὐτόν, ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτόν, ὅτι κατεκρίθη, μεταμεληθεὶς, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι, καὶ τοῖς πρεσβυτέροις λέγων· ἥμαρτον, παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον, τί πρὸς ὑμᾶς; σὺ ὄψει. καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς

λαβόντες τὰ ἀργύρια, εἶπον· οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβονᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι, συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις, διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ ἱερεμίου τοῦ προφήτου λέγοντος, καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι κύριος. Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων, σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ. Σὺ λέγεις. καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ πιλᾶτος, οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα. ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον ἐπίσημον. λεγόμενον βαραββᾶν. συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ πιλᾶτος. Τίνα θέλετε ἀπολύσω ὑμῖν, βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; ᾔδει γὰρ, ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα. μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ, πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. οἱ δὲ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν, εἶπεν αὐτοῖς. τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπον. Βαραββᾶν. λέγει αὐτοῖς ὁ πιλᾶτος. Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες. Σταυρωθήτω. ὁ δὲ ἡγεμὼν ἔφη. Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες. Σταυρωθήτω. Ἰδὼν δὲ ὁ πιλᾶτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται λαβὼν



ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων. ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου, ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν. τὸ αἷμα αὐτοῦ ἐφ' ὑμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν. τὸν δὲ Ἰησοῦν φραγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ. τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ. καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ λέγοντες. Χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον κυρηναῖον, ὀνόματι σίμωνα, τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. καὶ ἐλθόντες εἰς τόπον λεγόμενον γολγοθᾶ, ὅ ἐστι λεγόμενος κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον. καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν. σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου. διεμερίσαντο τὰ ἱμάτιά μου, ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην, οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν ἰουδαίων. τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί. εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν. κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες. ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν. εἰ υἱὸς εἶ τοῦ θεοῦ; κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμμα-

τέων καὶ πρεσβυτέρων, ἔλεγον. ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. εἰ βασιλεὺς ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. πέποιθεν ἐπὶ τὸν θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν. εἶπε γὰρ, ὅτι θεοῦ εἰμὶ υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτόν. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐννάτης. περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων. Ηλὶ ἠλὶ, λαμὰ σαβαχθανί, τοῦτ' ἔστι, θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον, ὅτι ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον. πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. οἱ δὲ λοιποὶ ἔλεγον, ἄφες ἴδωμεν εἰ ἔρχεται ἠλίας σώσων αὐτόν. Ο δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. Ο δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν. ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες. ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. Ησαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς γαλιλαίας, διακονοῦσαι αὐτῷ, ἐν αἷς ἦν μαρία ἡ μαγδαληνὴ, καὶ μαρία ἡ τοῦ ἰακώβου, καὶ ἰωσὴφ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν ζεβεδαίου. Οψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ ἀριμαθαίας, τοὔνομα ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ. οὗτος προσελθὼν τῷ πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα. καὶ λαβὼν τὸ σῶ-



μα ὁ ἰωσὴφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ, καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν. Ην δὲ ἐκεῖ μαρία ἡ μαγδαληνὴ καὶ ἡ ἄλλη μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου. Τῇ δὲ ἐπαύριον ἥτις ἐστὶ μετὰ τὴν παρασκευὴν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς πιλᾶτον, λέγοντες. Κύριε, ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι, κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. ἔφη αὐτοῖς ὁ πιλᾶτος. Εχετε κουστωδίαν. ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε. οἱ δὲ πορευθέντες, ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

Κεφάλαιον. κη. Οψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ XXVIII
εἰς μίαν σαββάτων, ἦλθεν μαρία ἡ μαγδαληνὴ, καὶ ἡ ἄλλη μαρία, θεωρῆσαι τὸν τάφον. καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας, ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας. καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο ὡσεὶ νεκροί. ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν ταῖς γυναιξί. Μὴ φοβεῖσθε ὑμεῖς, οἶδα γὰρ ὅτι Ἰησοῦν, τὸν ἐσταυρωμένον ζητεῖτε, οὐκ ἔστιν ὧδε. ἠγέρθη γὰρ καθὼς εἶπεν. Δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ κύριος, καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν γαλιλαίαν ἐκεῖ αὐτὸν ὄψεσθε, ἰδοὺ εἶπον ὑμῖν. καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμ-

μου ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων. Χαίρετε. αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς μὴ φοβεῖσθε. ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν, κἀκεῖ με ὄψονται. πορευομένων δὲ αὐτῶν, ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες. Εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτόν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. οἱ δὲ λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων. Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.

ΤΕΛΟΣ ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΥ.



## ΒΙΟΣ ΤΟΥ ΜΑΡΚΟΥ ΕΚ ΤΗΣ ΤΟΥ ΔΩΡΟθέου μάρτυρος καὶ Τυρίων Ἐπισκόπου Συνόψεως.

ΜΑΡΚΟΣ ὁ εὐαγγελιστής, καὶ πρῶτος ἀλεξανδρείας ἐπίσκοπος, ἀλεξανδρεῦσι καὶ
μ πάσῃ τῇ περιχώρῳ αὐτῆς ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ κυρίου, ἀπὸ αἰγύπτου καὶ μέχρι πενταπόλεως, ἐπὶ δὲ τῆς βασιλείας τραϊανοῦ, ἐν ἀλεξανδρείᾳ κάλων λαβὼν, κατὰ τοῦ τραχήλου καὶ συρεὶς ἀπὸ τῶν καλουμένων βουκόλου τόπων ἕως τῶν καλουμένων ἀγγέλων ἐκεῖ ἐκάη πυρί, ὑπὸ τῶν εἰδωλομανῶν, μηνὶ φαρμουθὶ λεως, καὶ ἐκεῖ ἐτάφη ἐν τοῖς βουκόλου.

## ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΡΚΟΝ.

Κεφάλαιον πρῶτον. I

ἈΡΧΗ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ θεοῦ ὡς γέγραπται ἐν τοῖς προφήταις.
α ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Ἐγένετο ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ ἰουδαία χώρα, καὶ οἱ ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ ἰορδάνῃ

ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον, καὶ ἐκήρυσσε λέγων. ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ. Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανούς. καὶ τὸ πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν. καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν. σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. καὶ εὐθέως τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον. καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα, πειραζόμενος ὑπὸ τοῦ σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. Μετὰ δὲ τὸ παραδοθῆναι Ἰωάννην, ἦλθεν Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ, καὶ λέγων. ὅτι πεπλήρωται ὁ καιρός, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ, μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ. Περιπατῶν δὲ περὶ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρα ἐν τῇ θαλάσσῃ, ἦσαν γὰρ ἁλιεῖς, καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. καὶ εὐθέως ἀφέντες τὰ δίκτυα αὐτῶν, ἠκολούθησαν αὐτῷ. καὶ προβὰς ἐκεῖθεν ὀλίγον, εἶδεν Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ δίκτυα, καὶ εὐθέως ἐκάλεσεν αὐτούς. καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν, ἀπῆλθον ὀπίσω αὐτοῦ. καὶ εἰσπορεύονται εἰς Καπερναούμ. καὶ εὐθέως τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συναγωγήν, ἐδίδασκεν. καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς. καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε λέγων. ἔα, τί ἡμῖν καὶ σοὶ Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων. φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον, καὶ κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐξ αὐτοῦ. καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς αὐτούς, λέγοντες. τί ἐστι τοῦτο; τίς ἡ διδαχὴ ἡ καινὴ αὕτη; ὅτι κατ' ἐξουσίαν καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ; ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας. καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες, ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου μετὰ Ἰακώβου καὶ Ἰωάννου. ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυρέσσουσα, καὶ εὐθέως λέγουσιν αὐτῷ περὶ αὐτῆς. καὶ προσελθὼν ἤγειρεν αὐτήν, κρατήσας τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει αὐτοῖς. ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας, καὶ τοὺς δαιμονιζομένους. καὶ ἡ πόλις ὅλη ἐπισυνηγμένη ἦν πρὸς τὴν θύραν, καὶ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις, καὶ δαιμόνια πολλὰ ἐξέβαλε, καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν αὐτόν. καὶ πρωῒ ἔννυχον λίαν ἀναστὰς ἐξῆλθε, καὶ ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο. καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων, καὶ οἱ μετ' αὐτοῦ, καὶ εὑρόντες αὐτόν, λέγουσιν αὐτῷ. ὅτι πάντες ζητοῦσί σε. καὶ λέγει αὐτοῖς. ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα καὶ ἐκεῖ κηρύξω.

εἰς τοῦτο γὰρ ἐξελήλυθα. καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων. καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτὸν, καὶ λέγων αὐτῷ· ὅτι ἐὰν θέλῃς δύνασαί με καθαρίσαι. ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ· θέλω, καθαρίσθητι. καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη. Καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτόν. καὶ λέγει αὐτῷ· ὅρα μηδενὶ μηδὲν εἴπῃς, ἀλλ' ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, ἃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς. ὁ δὲ ἐξελθὼν, ἤρξατο κηρύσσειν πολλὰ, καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ' ἔξω ἐν ἐρήμοις τόποις ἦν, καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

II Κεφάλ. β. Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναοὺμ δι' ἡμερῶν, καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι, καὶ εὐθέως συνήχθησαν πολλοὶ, ὥστε μηκέτι χωρεῖν, μηδὲ τὰ πρὸς τὴν θύραν, καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων. καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράββατον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο. ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν, τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ θεός; καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτως διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν τῷ παραλυτικῷ,

ἀφέωνταί σοι

ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ ἆρόν σου τὸν κράββατον, καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας, λέγει τῷ παραλυτικῷ· σοὶ λέγω, ἔγειρε καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν κράββατον ἐξῆλθεν ἐναντίον πάντων· ὥστε ἐξίστασθαι πάντας, καὶ δοξάζειν τὸν θεὸν, λέγοντας· ὅτι οὐδέποτε οὕτως εἴδομεν. καὶ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν, καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς. Καὶ παράγων ὁ Ἰησοῦς, εἶδε Λευῒ τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ ἀκολούθει μοι, καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. ἦσαν γὰρ πολλοὶ, καὶ ἠκολούθησαν αὐτῷ. καὶ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ. τί, ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει; καὶ ἀκούσας ὁ Ἰησοῦς, λέγει αὐτοῖς. οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν Φαρισαίων νηστεύοντες, καὶ ἔρχονται, καὶ λέγουσιν αὐτῷ· διατί οἱ μαθηταὶ Ἰωάννου, καὶ οἱ τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι; καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστὶ, νηστεύειν; ὅσον χρόνον μεθ' ἑαυτῶν ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν. ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. καὶ οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιρράπτει ἐπὶ ἱματίῳ παλαιῷ, εἰ δὲ μὴ αἴρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ πα-

λαιοῦ, καὶ χεῖρον σχίσμα γίνεται. καὶ οὐδεὶς βάλλει οἶνον νέον
εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μὴ, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀ-
σκούς, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται, ἀλλὰ οἶνον νέ-
ον εἰς ἀσκοὺς καινοὺς βλητέον. Καὶ ἐγένετο, παραπορεύεσθαι
αὐτὸν τοῖς σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ
αὐτοῦ ὁδὸν ποιεῖν, τίλλοντες τοὺς στάχυας, καὶ οἱ φαρισαῖοι ἔ-
λεγον αὐτῷ· ἴδε τί ποιοῦσιν ἐν τοῖς σάββασιν ὃ οὐκ ἔξεστι; καὶ
αὐτὸς ἔλεγεν αὐτοῖς· οὐδέποτε ἀνέγνωτε τί ἐποίησε Δαβὶδ,
ὅτε χρείαν ἔσχεν, καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰ-
σῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ ἀβιάθαρ τοῦ ἀρχιερέως, καὶ τοὺς
ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς
ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι; καὶ ἔλεγεν αὐτοῖς· τὸ
σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ
σάββατον. ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

III Κεφ. γ. Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγὴν, καὶ
ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα. καὶ παρετή-
ρουν αὐτὸν, εἰ τοῖς σάββασι θεραπεύσει αὐτὸν ἵνα κατηγορή-
σωσιν αὐτοῦ. καὶ λέγει τῷ ἀνθρώπῳ, τῷ ἐξηραμμένην ἔχοντι
τὴν χεῖρα· ἔγειρε εἰς τὸ μέσον. καὶ λέγει αὐτοῖς· ἔξεστι τοῖς σάβ-
βασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀπο-
κτεῖναι; οἱ δὲ ἐσιώπων. καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀρ-
γῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει
τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά σου, καὶ ἐξέτεινε. καὶ ἀποκα-
τεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. Καὶ ἐξελθόντες οἱ φαρι-
σαῖοι, εὐθέως μετὰ τῶν ἡρωδιανῶν συμβούλιον ἐποίουν κατ'
αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ τῶν
μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν. καὶ πολὺ πλῆθος ἀπὸ τῆς
γαλιλαίας ἠκολούθησαν αὐτῷ, καὶ ἀπὸ τῆς ἰουδαίας, καὶ ἀπὸ
ἱεροσολύμων καὶ ἀπὸ τῆς ἰδουμαίας, καὶ πέραν τοῦ ἰορδάνου, καὶ
οἱ περὶ τύρον καὶ σιδῶνα πλῆθος πολὺ, ἀκούσαντες ὅσα ἐ-
ποίει, ἦλθον πρὸς αὐτόν. καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ, ἵνα
πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβω-
σιν αὐτόν. πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐ-
τῷ, ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας. καὶ τὰ πνεύμα-
τα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ,
καὶ ἔκραζε λέγοντα· ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. καὶ πολλὰ ἐπετί-
μα αὐτοῖς, ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσι. καὶ ἀναβαίνει εἰς τὸ
ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός. καὶ ἀπῆλθον πρὸς
αὐτόν. καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλ-
λῃ αὐτοὺς κηρύσσειν, καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους,
καὶ ἐκβάλλειν τὰ δαιμόνια. καὶ ἐπέθηκε τῷ σίμωνι ὄνομα πέτρον,
καὶ ἰάκωβον τὸν τοῦ ζεβεδαίου, καὶ ἰωάννην τὸν ἀδελφὸν τοῦ ἰακώ-
βου, ἐπέθηκεν αὐτοῖς ὀνόματα βοανεργές, ὅ ἐστιν, υἱοὶ βροντῆς,
καὶ ἀνδρέαν, καὶ φίλιππον, καὶ βαρθολομαῖον, καὶ ματθαῖον, καὶ
θωμᾶν, καὶ ἰάκωβον τὸν τοῦ ἀλφαίου, καὶ θαδδαῖον, καὶ σίμω-
να τὸν κανανίτην, καὶ ἰούδαν ἰσκαριώτην, ὃς καὶ παρέδωκεν
αὐτόν. καὶ ἔρχονται εἰς οἶκον. καὶ συνέρχεται πάλιν ὄχλος, ὥσ-
τε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτους φαγεῖν. καὶ ἀκούσαντες οἱ
παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν. ἔλεγον γὰρ ὅτι ἐξέστη.
καὶ οἱ γραμματεῖς οἱ ἀπὸ ἱεροσολύμων καταβάντες, ἔλεγον,
ὅτι βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων
ἐκβάλλει τὰ δαιμόνια. καὶ προσκαλεσάμενος αὐτοὺς, ἐν παρα-
βολαῖς ἔλεγεν αὐτοῖς, πῶς δύναται σατανᾶς σατανᾶν ἐκ-
βάλλειν; καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆ-
ναι ἡ βασιλεία ἐκείνη. καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύ-
ναται σταθῆναι ἡ οἰκία ἐκείνη. καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν
καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει. οὐ δύναται
οὐδεὶς τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ,

διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὴν
οἰκίαν αὐτοῦ διαρπάσει. ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα ἀφεθήσεται
τὰ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι, ὅ-
σας ἂν βλασφημήσωσιν. ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ πνεῦ-
μα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν
αἰωνίου κρίσεως. ὅτι ἔλεγον, πνεῦμα ἀκάθαρτον ἔχει. καὶ ἔρ-
χονται ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοί, καὶ ἔξω ἑστῶτες, ἀπέστει-
λαν πρὸς αὐτὸν φωνοῦντες αὐτόν, καὶ ἐκάθητο ὄχλος περὶ αὐ-
τόν, εἶπον δὲ αὐτῷ. ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω
ζητοῦσί σε. καὶ ἀπεκρίθη αὐτοῖς, λέγων. τίς ἐστιν ἡ μήτηρ μου
καὶ οἱ ἀδελφοί μου; καὶ περιβλεψάμενος τοὺς κύκλῳ περὶ αὐτὸν
μαθητὰς καθημένους, λέγει. ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί
μου. ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ, οὗτος ἀδελφός μου,
IIII καὶ ἀδελφή μου, καὶ μήτηρ ἐστί. Κεφ. δ. Καὶ πάλιν ἤρξατο
διδάσκειν παρὰ τὴν θάλασσαν. καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος
πολύς, ὥστε αὐτὸν ἐμβάντα εἰς πλοῖον, καθῆσθαι ἐν τῇ θα-
λάσσῃ, καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν. καὶ
ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά. καὶ ἔλεγεν αὐτοῖς
ἐν τῇ διδαχῇ αὐτοῦ. ἀκούετε. ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖ-
ραι, καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν,
καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό. ἄλλο δὲ
ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ εἶχε γῆν πολλήν, καὶ εὐθέως
ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς, ἡλίου δὲ ἀνατείλαντος,
ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη. καὶ ἄλλο ἔπε-
σεν εἰς τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ συνέπνιξαν
αὐτό, καὶ καρπὸν οὐκ ἔδωκε. καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν κα-
λήν. καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα, καὶ αὐξάνοντα καὶ ἔφερεν
ἓν τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν αὐτοῖς. ὁ
ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτη-



σαν αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν παραβολήν. καὶ ἔλε-
γεν αὐτοῖς. ὑμῖν δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ
θεοῦ, ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται, ἵνα
βλέποντες βλέπωσι, καὶ μὴ ἴδωσι, καὶ ἀκούοντες ἀκούωσι, καὶ
μὴ συνιῶσι, μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρ-
τήματα. καὶ λέγει αὐτοῖς. οὐκ οἴδατε τὴν παραβολὴν ταύτην;
καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε; ὁ σπείρων τὸν λό-
γον σπείρει. οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπείρεται
ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ σατανᾶς, καὶ
αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν. καὶ οὗ-
τοί εἰσιν ὁμοίως, οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι, οἳ ὅταν ἀκού-
σωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν, καὶ
οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν, εἶτα γε-
νομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθέως σκανδαλί-
ζονται. καὶ οὗτοί εἰσιν, οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οὗτοί
εἰσιν οἱ τὸν λόγον ἀκούοντες, καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου,
καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευό-
μεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. καὶ οὗτοί
εἰσιν, οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι
τὸν λόγον καὶ παραδέχονται, καὶ καρποφοροῦσιν, ἓν τριάκοντα,
καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν αὐτοῖς. μήτι ὁ λύ-
χνος ἔρχεται, ἵνα ὑπὸ τὸν μόδιον τεθῇ, ἢ ὑπὸ τὴν κλίνην; οὐχ
ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ; οὐ γάρ ἐστί τι κρυπτόν, ὃ ἐὰν μὴ
φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανερὸν ἔλθῃ.
εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω. καὶ ἔλεγεν αὐτοῖς. βλέπετε
τί ἀκούετε. ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθή-
σεται ὑμῖν τοῖς ἀκούουσιν. ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ. καὶ
ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. καὶ ἔλεγεν. οὕτως
ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ

τῆς γῆς, καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν. καὶ ὁ σπόρος
βλαστάνῃ, καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός. αὐτομάτη γὰρ ἡ γῆ
καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον
ἐν τῷ στάχυϊ. ὅταν δὲ παραδῷ ὁ καρπὸς, εὐθέως ἀποστέλλει τὸ
δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός. καὶ ἔλεγε, τίνι ὁμοιώ-
σωμεν τὴν βασιλείαν τοῦ θεοῦ; ἢ ἐν τίνι παραβολῇ παραβάλω-
μεν αὐτήν; ὡς κόκκον σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς,
μικρότερος πάντων τῶν σπερμάτων ἐστὶ τῶν ἐπὶ τῆς γῆς, καὶ ὅταν
σπαρῇ, ἀναβαίνει, καὶ γίνεται πάντων τῶν λαχάνων μείζων, καὶ ποιεῖ
κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν. καὶ τοιαύταις παραβολαῖς πολ-
λαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν. χω-
ρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς. κατ' ἰδίαν δὲ τοῖς μαθη-
ταῖς αὐτοῦ ἐπέλυε πάντα. καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέ-
ρᾳ ὀψίας γενομένης, διέλθωμεν εἰς τὸ πέραν. καὶ ἀφέντες τὸν
ὄχλον, παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ, καὶ ἄλ-
λα δὲ πλοιάρια ἦν μετ' αὐτοῦ. καὶ γίνεται λαῖλαψ ἀνέμου με-
γάλη, τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη
γεμίζεσθαι. καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ, ἐπὶ τὸ προσκεφάλαι-
ον καθεύδων. καὶ διεγείρουσιν αὐτὸν, καὶ λέγουσιν αὐτῷ. δι-
δάσκαλε, οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα; καὶ διεγερθεὶς ἐπε-
τίμησε τῷ ἀνέμῳ, καὶ εἶπεν τῇ θαλάσσῃ, σιώπα, πεφίμωσο.
καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη, καὶ εἶπεν
αὐτοῖς. τί δειλοί ἐστε οὕτως; πῶς οὐκ ἔχετε πίστιν; καὶ ἐφοβή-
θησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους. τίς ἄρα οὗτός
ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ.

V Κεφ. ε. Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώ-
ραν τῶν γαδαρηνῶν. Καὶ ἐξελθόντι αὐτῷ ἐκ τοῦ πλοίου, εὐθέ-
ως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι
ἀκαθάρτῳ, ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνημείοις. καὶ
οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι, διὰ τὸ αὐτὸν πολ-
λάκις πέδαις καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπάσθαι ὑπ' αὐτοῦ
τὰς ἁλύσεις, καὶ τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς αὐτὸν ἴ-
σχυε δαμάσαι. καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς
ὄρεσι καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων, καὶ κατακόπτων ἑαυτὸν
λίθοις. ἰδὼν δὲ τὸν Ιησοῦν ἀπὸ μακρόθεν, ἔδραμε, καὶ προσεκύ-
νησεν αὐτῷ, καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν. Τί ἐμοὶ καί σοι
Ιησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε τὸν θεὸν, μή με βασανί-
σῃς. ἔλεγε γὰρ αὐτῷ, ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώ-
που. καὶ ἐπηρώτα αὐτόν. τί σοι ὄνομα; καὶ ἀπεκρίθη λέγων.
λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. καὶ παρεκάλει αὐτὸν
πολλὰ, ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας. ἦν δὲ ἐκεῖ
πρὸς τὰ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη. καὶ παρεκάλε-
σαν αὐτὸν πάντες οἱ δαίμονες, λέγοντες. πέμψον ἡμᾶς εἰς
τοὺς χοίρους ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. καὶ ἐπέτρεψεν αὐτοῖς
εὐθέως ὁ Ιησοῦς καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα,
εἰσῆλθον εἰς τοὺς χοίρους. καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ
κρημνοῦ εἰς τὴν θάλασσαν. ἦσαν δὲ ὡς δισχίλιοι, καὶ ἐπνί-
γοντο ἐν τῇ θαλάσσῃ. οἱ δὲ βόσκοντες τοὺς χοίρους, ἔφυγον,
καὶ ἀνήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. καὶ ἐξῆλθον ἰδεῖν
τί ἐστι τὸ γεγονός, καὶ ἔρχονται πρὸς τὸν Ιησοῦν. καὶ θεωροῦ-
σι τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον, καὶ σω-
φρονοῦντα τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν. καὶ διη-
γήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγένετο τῷ δαιμονιζομένῳ,
καὶ περὶ τῶν χοίρων. καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ
τῶν ὁρίων αὐτῶν. καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον, παρεκάλει
αὐτὸν ὁ δαιμονισθεὶς, ἵνα ᾖ μετ' αὐτοῦ. Ο δὲ Ιησοῦς οὐκ ἀφῆ-
κεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ. ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς

σούς, καὶ ἀνάγγειλον αὐτοῖς, ὅσα σοι ὁ κύριος πεποίηκε καὶ ἠλέησέ σε. καὶ ἀπῆλθε καὶ ἤρξατο κηρύσσειν ἐν τῇ δεκαπόλει, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ πάντες ἐθαύμαζον. καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν, συνήχθη ὄχλος πολὺς ἐπ' αὐτόν, καὶ ἦν παρὰ τὴν θάλασσαν. Καὶ ἰδοὺ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτόν, πίπτει πρὸς τοὺς πόδας αὐτοῦ. καὶ παρεκάλει αὐτὸν πολλά, λέγων. ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει, ἵνα ἐλθὼν ἐπιθῇς αὐτῷ τὰς χεῖρας, ὅπως σωθῇ καὶ ζήσεται. καὶ ἀπῆλθε μετ' αὐτοῦ. καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς. καὶ συνέθλιβον αὐτόν. καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γάρ, ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ, τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε. τίς μου ἥψατο τῶν ἱματίων; καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, τίς μου ἥψατο; καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο πεποιηκυῖαν. ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. ὁ δὲ εἶπεν αὐτῇ. Θύγατερ, ἡ πίστις σου σέσωκέ σε, ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου, λέγοντες, ὅτι ἡ θυγάτηρ σου ἀπέθανε, τί ἔτι σκύλλεις τὸν διδάσκαλον; ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον, λέγει τῷ ἀρχισυναγώγῳ. μὴ φοβοῦ, μόνον πίστευε. καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ συνακολουθῆσαι. εἰ μὴ πέτρον καὶ ἰάκωβον καὶ ἰωάννην τὸν ἀδελφὸν ἰακώβου. καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά, καὶ εἰσελθὼν λέγει αὐτοῖς. Τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει καὶ κατεγέλων αὐτοῦ. ὁ δὲ ἐκβαλὼν ἅπαντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα. καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον, καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου, λέγει αὐτῇ. Ταλιθά, κοῦμι, ὅ ἐστι μεθερμηνευόμενον, τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε. καὶ εὐθέως ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει, ἦν γὰρ ἐτῶν δώδεκα, καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ. καὶ διεστείλατο αὐτοῖς πολλά, ἵνα μηδεὶς γνῷ τοῦτο καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

Κεφ. ς. Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρί- VI
δα αὐτοῦ, καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. καὶ γενομένου σαββάτου, ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν, καὶ πολλοὶ ἀκούοντες, ἐξεπλήσσοντο λέγοντες. Πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ; καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται; οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς μαρίας, ἀδελφὸς δὲ ἰακώβου καὶ ἰωσῆ καὶ ἰούδα, καὶ σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς, ὅτι οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε. καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγε τὰς κώμας κύκλῳ, διδάσκων καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο. καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. καὶ παρήγγειλεν αὐτοῖς, ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν, εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, μὴ ἄρτον μὴ

εἰς τὴν ζώνην χαλκόν, ἀλλ' ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας. καὶ ἔλεγεν αὐτοῖς, ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν ἐκεῖ μένετε, ἕως ἂν ἐξέλθητε ἐκεῖθεν, καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόῤῥοις ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Καὶ ἐξελθόντες ἐκήρυσσον, ἵνα μετανοήσωσι. καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον. Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης, φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγεν, ὅτι Ἰωάννης ὁ βαπτίζων, ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. ἄλλοι ἔλεγον, ὅτι Ἠλίας ἐστίν. ἄλλοι δὲ ἔλεγον, ὅτι προφήτης ἐστίν, ἢ ὡς εἷς τῶν προφητῶν. Ἀκούσας δὲ ὁ Ἡρώδης, εἶπεν, ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν, αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. Αὐτὸς γὰρ ὁ Ἡρώδης ἀποστείλας, ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν. ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ, ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο. ὁ γὰρ Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν, καὶ ἀκούσας αὐτοῦ πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουεν. Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσι. καὶ τοῖς χιλιάρχοις, καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας. Καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ ὀρχησαμένης καὶ ἀρεσάσης τῷ Ἡρώδῃ, καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ. αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι. Καὶ ὤμοσεν αὐτῇ, ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω



σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. ἡ δὲ ἐξελθοῦσα, εἶπεν τῇ μητρὶ αὐτῆς. τί αἰτήσομαι; ἡ δὲ εἶπεν. τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα, ᾐτήσατο λέγουσα, θέλω ἵνα μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. καὶ περίλυπος γενόμενος ὁ βασιλεύς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα, ἐκέλευσεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ. Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν. καὶ ὅσα ἐδίδαξαν. Καὶ εἶπεν αὐτοῖς. Δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον. ἦσαν γὰρ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν ηὐκαίρουν. καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδίαν. Καὶ εἶδον αὐτοὺς ὑπάγοντας οἱ ὄχλοι, καὶ ἐπέγνωσαν αὐτὸν πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ, καὶ προῆλθον αὐτούς, καὶ συνῆλθον πρὸς αὐτόν. καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά. καὶ ἤδη ὥρας πολλῆς γενομένης, προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν. ὅτι ἔρημός ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή, ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγρούς, καὶ κώμας, ἀγοράσωσιν ἑαυτοῖς ἄρτους, τί γὰρ φάγωσιν οὐκ ἔχουσιν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, δότε αὐτοῖς ὑμεῖς φαγεῖν καὶ λέγουσιν αὐτῷ. ἀπελθόντες ἀγοράσωμεν διακοσίων δηναρίων ἄρτους. καὶ δῶμεν αὐτοῖς φαγεῖν; ὁ δὲ λέγει αὐτοῖς.

πόσους ἄρτους ἔχετε; ὑπάγετε καὶ ἴδετε. καὶ γνόντες, λέγουσι·
πέντε καὶ δύο ἰχθύας. καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας
συμπόσια ἐπὶ χλωρῷ χόρτῳ. καὶ ἀνέπεσαν πρασίαι ἀνὰ ἑ-
κατὸν καὶ ἀνὰ πεντήκοντα. καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς
δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε, καὶ κατέκλα-
σε τοὺς ἄρτους, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παραθῶσιν
αὐτοῖς. καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι. καὶ ἔφαγον πάντες
καὶ ἐχορτάσθησαν, καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλή-
ρεις, καὶ ἀπὸ τῶν ἰχθύων. καὶ ἦσαν οἱ φαγόντες ὡσεὶ πεντακισχί-
λιοι ἄνδρες. Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆ-
ναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς βηθσαϊδὰ, ἕως
αὐτὸς ἀπολύσῃ τὸν ὄχλον. καὶ ἀποταξάμενος αὐτοῖς, ἀπῆλ-
θεν εἰς τὸ ὄρος προσεύξασθαι. καὶ ὀψίας γενομένης, ἦν τὸ πλοῖ-
ον ἐν μέσῳ τῆς θαλάσσης καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς, καὶ εἶδεν
αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν. ἦν γὰρ ὁ ἄνεμος ἐναν-
τίος αὐτοῖς, καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς
αὐτοὺς, περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελε παρελθεῖν αὐ-
τούς. οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, ἔδο-
ξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν. πάντες γὰρ αὐτὸν εἶδον,
καὶ ἐταράχθησαν, καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν, καὶ λέγει αὐ-
τοῖς. θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε, καὶ ἀνέβη πρὸς αὐτοὺς
εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ λίαν ἐκ περισσοῦ ἐν
ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον. οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρ-
τοις, ἦν γὰρ αὐτῶν ἡ καρδία πεπωρωμένη. καὶ διαπεράσαντες,
ἦλθον ἐπὶ τὴν γῆν γενησαρὲθ, καὶ προσωρμίσθησαν. καὶ ἐξελθόν-
των αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως ἐπιγνόντες αὐτὸν, περιδρα-
μόντες ὅλην τὴν περίχωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραββά-
τοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι,
καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας, ἢ πόλεις, ἢ ἀγροὺς, ἐν ταῖς



ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτὸν, ἵνα
κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται, καὶ ὅσοι ἂν ἥπ-
τοντο αὐτοῦ, ἐσώζοντο. Κεφάλ. ζ. Καὶ συνάγονται πρὸς VII
αὐτὸν οἱ φαρισαῖοι, καί τινες τῶν γραμματέων ἐλθόντες ἀπὸ
ἱεροσολύμων. καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς
χερσὶ, τοῦτ' ἔστιν, ἀνίπτοις, ἐσθίοντας ἄρτους, ἐμέμψαντο, οἱ
γὰρ φαρισαῖοι καὶ πάντες οἱ ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται
τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν
πρεσβυτέρων, καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθί-
ουσι. καὶ ἄλλα πολλά ἐστιν, ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς
ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων, καὶ κλινῶν. ἔπειτα ἐπερωτῶσι
αὐτὸν οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς. διατί οἱ μαθηταί σου
οὐ περιπατοῦσι κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ
ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς
ὅτι καλῶς προεφήτευσεν ἠσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν,
ὡς γέγραπται. οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρ-
δία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με,
διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. ἀφέν-
τες γὰρ τὴν ἐντολὴν τοῦ θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν
ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια
τοιαῦτα πολλὰ ποιεῖτε. καὶ ἔλεγεν αὐτοῖς. καλῶς, ἀθετεῖτε
τὴν ἐντολὴν τοῦ θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε. μω-
σῆς γὰρ εἶπε. τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου. καὶ ὁ
κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ὑμεῖς δὲ
λέγετε, ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρὶ κορβᾶν, ὅ ἐ-
στι, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ, ὠφεληθῇς. καὶ οὐκ ἔτι ἀφίετε αὐτὸν οὐ-
δὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ, ἀκυροῦντες τὸν
λόγον τοῦ θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε, καὶ παρόμοια
τοιαῦτα πολλὰ ποιεῖτε καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον,

ἔλεγεν αὐτοῖς· ἀκούετέ μου πάντες καὶ συνίετε. οὐδέν ἐστιν
ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν, ὃ δύναται αὐ-
τὸν κοινῶσαι. ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ, ἐκεῖνά ἐστι τὰ
κοινοῦντα τὸν ἄνθρωπον. εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. καὶ
ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθη-
ταὶ αὐτοῦ περὶ τῆς παραβολῆς. καὶ λέγει αὐτοῖς, οὕτω καὶ ὑ-
μεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε, ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευό-
μενον εἰς τὸν ἄνθρωπον, οὐ δύναται αὐτὸν κοινῶσαι, ὅτι οὐκ εἰσ-
πορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν, καὶ εἰς
τὸν ἀφεδρῶνα ἐκπορεύεται, ἐκκαθαρίζων πάντα τὰ βρώματα;
ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ
τὸν ἄνθρωπον. ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ δι-
αλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται. μοιχεῖαι, πορνεῖαι, φόνοι,
κλοπαὶ, πλεονεξίαι, πονηρίαι. δόλος, ἀσέλγεια. ὀφθαλμὸς
πονηρὸς, βλασφημία, ὑπερηφανία, ἀφροσύνη. πάντα ταῦτα
τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον. καὶ ἐκεῖ-
θεν ἀναστὰς, ἀπῆλθεν εἰς τὰ μεθόρια τύρου καὶ σιδῶνος. καὶ εἰ-
σελθὼν εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λα-
θεῖν. Ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχεν τὸ θυγάτριον
αὐτῆς πνεῦμα ἀκάθαρτον. ἐλθοῦσα προσέπεσε πρὸς τοὺς
πόδας αὐτοῦ. ἦν δὲ ἡ γυνὴ ἑλληνίς, συροφοίνισσα τῷ γένει.
καὶ ἠρώτα αὐτὸν, ἵνα τὸ δαιμόνιον ἐκβάλλῃ ἐκ τῆς θυγατρὸς
αὐτῆς. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ, ἄφες πρῶτον χορτασθῆναι τὰ τέκ-
να. οὐ γὰρ καλόν ἐστι, λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς
κυναρίοις. ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ. Ναὶ κύριε, καὶ γὰρ τὰ κυ-
νάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων.
καὶ εἶπεν αὐτῇ· διὰ τοῦτον τὸν λόγον, ὕπαγε, ἐξελήλυθε τὸ δαιμό-
νιον ἐκ τῆς θυγατρός σου. καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ
δαιμόνιον ἐξεληλυθὸς, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλί-



νης. καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων τύρου καὶ σιδῶνος, ἦλθεν
πρὸς τὴν θάλασσαν τῆς γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων δε-
καπόλεως, καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον. καὶ παρα-
καλοῦσιν αὐτὸν, ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. καὶ ἀπολαβόμενος
αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ
εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας, ἥψατο τῆς γλώσσης αὐτοῦ καὶ ἀνα-
βλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε, καὶ λέγει αὐτῷ, ἐφφαθά.
ὅ ἐστι, διανοίχθητι, καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκο-
αί, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρ-
θῶς. καὶ διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν. ὅσον δὲ αὐ-
τὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον. καὶ
ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες, καλῶς πάντα πε-
ποίηκε, καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους
λαλεῖν. Κεφαλ. η. Ἐν ἐκείναις ταῖς ἡμέραις παμ- VIII
πόλλου ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσά-
μενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς. σπλαγχ-
νίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι,
καὶ οὐκ ἔχουσι τί φάγωσι. καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶ-
κον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ. τινὲς γὰρ αὐτῶν μακρόθεν ἥ-
κουσιν. καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. πόθεν τούτους δυ-
νήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας; καὶ ἐπηρώτα αὐ-
τούς. πόσους ἔχετε ἄρτους; οἱ δὲ εἶπον, ἑπτά. καὶ παρήγγειλε τῷ
ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαρι-
στήσας, ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παραθῶσι
καὶ παρέθηκαν τῷ ὄχλῳ. καὶ εἶχον ἰχθύδια ὀλίγα, καὶ εὐλογή-
σας εἶπε παραθεῖναι καὶ αὐτά. ἔφαγον δὲ καὶ ἐχορτάσθησαν, καὶ
ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. ἦσαν δὲ οἱ φα-
γόντες, ὡς τετρακισχίλιοι, καὶ ἀπέλυσεν αὐτούς. καὶ εὐθέως ἐμ-
βὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη δαλ-
μανουθά. καὶ ἐξῆλθον οἱ φαρισαῖοι, καὶ ἤρξαντο συζητεῖν αὐτῷ,

ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν. καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον. καὶ ἀφεὶς αὐτοὺς ἐμβὰς πάλιν εἰς πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν. καὶ ἐπελάθοντο λαβεῖν ἄρτους. καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ. Καὶ διεστέλλετο αὐτοῖς λέγων· ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων, καὶ τῆς ζύμης ἡρώδου. καὶ διελογίζοντο πρὸς ἀλλήλους, λέγοντες, ὅτι ἄρτους οὐκ ἔχομεν. καὶ γνοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς. Τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε. οὔπω νοεῖτε, οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε. ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, πόσους κοφίνους πλήρεις κλασμάτων ἤρατε; λέγουσιν αὐτῷ, δώδεκα. ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; οἱ δὲ εἶπον, ἑπτά. καὶ ἔλεγεν αὐτοῖς. πῶς οὐ νοεῖτε; καὶ ἔρχεται εἰς βηθσαϊδάν, καὶ φέρουσιν αὐτῷ τυφλόν, καὶ παρακαλοῦσιν αὐτόν, ἵνα αὐτοῦ ἅψηται. καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης. καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώτα αὐτόν, εἴ τι βλέπει. καὶ ἀναβλέψας ἔλεγε, βλέπω τοὺς ἀνθρώπους, ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας, εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι, καὶ ἀποκατεστάθη, καὶ διέβλεψε τηλαυγῶς ἅπαντας. καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, λέγων· μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς, μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.

Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας καισαρείας τῆς φιλίππου. καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μα-

θητὰς αὐτοῦ,

θητὰς αὐτοῦ, λέγων αὐτοῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; οἱ δὲ ἀπεκρίθησαν, Ἰωάννην τὸν βαπτιστήν, καὶ ἄλλοι ἠλίαν, ἄλλοι δὲ ἕνα τῶν προφητῶν. καὶ αὐτὸς λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ ὁ πέτρος, λέγει αὐτῷ. σὺ εἶ ὁ Χριστός. καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. καὶ ἤρξατο διδάσκειν αὐτούς, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι, καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. Καὶ προσλαβόμενος αὐτὸν ὁ πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ. ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησε τῷ πέτρῳ, λέγων, ὕπαγε ὀπίσω μου σατανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων, καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν. καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. τί γὰρ ὠφελήσει ἄνθρωπος ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

Κεφ. θ. Καὶ ἔλεγεν αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν. ὅτι εἰσί IX
τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. καὶ μεθ' ἡμέρας ἕξ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν πέτρον καὶ τὸν ἰάκωβον καὶ τὸν ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους. καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ τὰ ἱμάτια

αὐτοῦ ἐγένετο στίλβοντα, λευκὰ λίαν ὡς χιών, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι, καὶ ὤφθη αὐτοῖς ἠλίας σὺν μωσῇ, καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. καὶ ἀποκριθεὶς ὁ πέτρος λέγει τῷ Ἰησοῦ. ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν, καὶ μωσεῖ, καὶ ἠλίᾳ μίαν. Οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἦσαν γὰρ ἔκφοβοι. καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς. καὶ ἦλθεν φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε. καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ᾽ ἑαυτῶν. Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. Καὶ τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτούς, συζητοῦντες, τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι, καὶ ἐπηρώτων αὐτὸν λέγοντες, ὅτι λέγουσιν οἱ γραμματεῖς, ὅτι ἠλίαν δεῖ ἐλθεῖν πρῶτον. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς. ἠλίας μὲν ἐλθὼν πρῶτον, ἀποκαθιστᾷ πάντα. καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ. ἀλλὰ λέγω ὑμῖν, ὅτι ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς γέγραπται ἐπ᾽ αὐτόν. καὶ ἐλθὼν πρὸς τοὺς μαθητάς, εἶδεν ὄχλον πολὺν περὶ αὐτούς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς. καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν ἐξεθαμβήθη. καὶ προστρέχοντες, ἠσπάζοντο αὐτόν. καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· τί συζητεῖτε πρὸς αὐτούς; καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου, εἶπεν. Διδάσκαλε ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον. καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ ῥήσσει αὐτόν, καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται. καὶ εἶπον τοῖς μαθηταῖς σου, ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν. ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει, ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με. καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. καὶ ἰδὼν αὐτὸν εὐθέως τὸ πνεῦμα, ἐσπάραξεν αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων. καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ, πόσος χρόνος ἐστίν, ὡς τοῦτο γέγονεν αὐτῷ; ὁ δὲ εἶπεν. παιδιόθεν, καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε, καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν. ἀλλ᾽ εἴ τι δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. τό, εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε. πιστεύω κύριε, βοήθει μου τῇ ἀπιστίᾳ. ἰδὼν δὲ ὁ Ἰησοῦς, ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ. τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. καὶ κράξαν, καὶ πολλὰ σπαράξαν αὐτόν, ἐξῆλθε, καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν, ὅτι ἀπέθανεν. ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρός, ἤγειρεν αὐτόν, καὶ ἀνέστη. Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ᾽ ἰδίαν, ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; καὶ εἶπεν αὐτοῖς. τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. καὶ ἐκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τὶς γνῷ, ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν αὐτοῖς, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι. Καὶ ἦλθεν εἰς καπερναούμ. καὶ ἐν τῇ οἰκίᾳ γενόμενος, ἐπηρώτα αὐτούς, τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε; οἱ δὲ ἐσιώπων, πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων, καὶ καθίσας, ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς. εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος, καὶ πάντων διάκονος. καὶ λαβὼν παιδίον, ἔστησεν

ἐν μέσῳ αὐτῶν, καὶ ἐναγκαλισάμενος αὐτό, εἶπεν αὐτοῖς. Ὃς
ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐ-
μὲ δέχεται. Καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ
τὸν ἀποστείλαντά με. Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης, λέγων. Δι-
δάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαι-
μόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν, καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ
ἀκολουθεῖ ἡμῖν. ὁ δὲ Ἰησοῦς εἶπεν, μὴ κωλύετε αὐτόν. οὐδεὶς
γάρ ἐστιν, ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνή-
σεται ταχὺ κακολογῆσαί με. ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡ-
μῶν ἐστιν. ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν ὀνό-
ματί μου, ὅτι Χριστοῦ ἐστέ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ
τὸν μισθὸν αὐτοῦ. Καὶ ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πι-
στευόντων εἰς ἐμέ, καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται λίθος
μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν θάλασσαν.
καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν. καλόν
σοι ἐστὶ κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔ-
χοντα, ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, ὅπου
ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ. καὶ τὸ πῦρ οὐ σβέννυται. καὶ ἐὰν ὁ
πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν, καλόν ἐστί σοι εἰσελ-
θεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι
εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον. ὅπου ὁ σκώληξ αὐτῶν
οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. καὶ ἐὰν ὁ ὀφθαλμός σου
σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν. καλόν σοι ἐστὶ, μονόφθαλμον εἰ-
σελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα
βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. ὅπου ὁ σκώληξ αὐτῶν οὐ
τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. Πᾶς γὰρ πυρὶ ἁλισθήσεται καὶ
πᾶσα θυσία ἁλὶ ἁλισθήσεται. καλὸν τὸ ἅλας, ἐὰν δὲ τὸ ἅλας
ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅ-
X λας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. Κεφ. ι. Κἀκεῖθεν ἀνα-



στάς, ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας διὰ τοῦ πέραν τοῦ Ἰορδά-
νου καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν, καὶ ὡς εἰώθει
πάλιν ἐδίδασκεν αὐτούς. Καὶ προσελθόντες Φαρισαῖοι, ἐπη-
ρώτησαν αὐτόν, εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι. πειράζον-
τες αὐτόν. ὁ δὲ ἀποκριθείς, εἶπεν αὐτοῖς. Τί ὑμῖν ἐνετείλατο
Μωσῆς; οἱ δὲ εἶπον. Μωσῆς ἐπέτρεψε βιβλίον ἀποστασίου γρά-
ψαι, καὶ ἀπολῦσαι. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς.
πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν
ταύτην. ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐ-
τοὺς ὁ θεός. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐ-
τοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα
αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, ὥστε οὐκέτι εἰσὶ δύο,
ἀλλὰ μία σάρξ. ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωρι-
ζέτω. Καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μαθηταὶ αὐτοῦ περὶ τοῦ αὐτοῦ ἐπηρώ-
τησαν αὐτόν. καὶ λέγει αὐτοῖς. ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα
αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν. καὶ ἐὰν γυνὴ ἀ-
πολύσῃ τὸν ἄνδρα αὐτῆς, καὶ γαμηθῇ ἄλλῳ, μοιχᾶται. Καὶ προ-
σέφερον αὐτῷ παιδία, ἵνα ἅψηται αὐτῶν. οἱ δὲ μαθηταὶ ἐπε-
τίμων τοῖς προσφέρουσιν. ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησεν, καὶ
εἶπεν αὐτοῖς. ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, μὴ κωλύετε
αὐτά, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. Ἀμὴν λέγω
ὑμῖν. ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον,
οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Καὶ ἐναγκαλισάμενος αὐτά, τιθεὶς
τὰς χεῖρας ἐπ' αὐτά, εὐλόγησεν αὐτά. Καὶ ἐκπορευομένου
αὐτοῦ εἰς ὁδὸν προσδραμὼν εἷς, καὶ γονυπετήσας αὐτόν, ἐπη-
ρώτα αὐτόν. Διδάσκαλε ἀγαθέ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον
κληρονομήσω; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. τί με λέγεις ἀγαθόν;
οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. τὰς ἐντολὰς οἶδας, μὴ μοι-
χεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς,

μὴ ἀποστερήσῃς. τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ. Διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ. Ἕν σοι ὑστερεῖ. ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς τοῖς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι, ἄρας τὸν σταυρόν. Ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος, ἦν γὰρ ἔχων κτήματα πολλά. καὶ περιβλεψάμενος ὁ Ἰησοῦς, λέγει τοῖς μαθηταῖς αὐτοῦ. Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσονται. οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς. τέκνα, πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ τοῖς χρήμασιν, εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς τῆς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. οἱ δὲ περισσῶς ἐξεπλήσσοντο, λέγοντες πρὸς ἑαυτούς. Καὶ τίς δύναται σωθῆναι; Ἐμβλέψας δὲ αὐτοῖς ὁ Ἰησοῦς, λέγει. Παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ τῷ θεῷ, πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ θεῷ. καὶ ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ. Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν. Ἀμὴν λέγω ὑμῖν. Οὐδείς ἐστιν, ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ οἱ ἔσχατοι πρῶτοι. Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα, καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο καὶ ἀκολουθοῦντες ἐφοβοῦντο. Καὶ παραλαβὼν ὁ Ἰησοῦς πάλιν τοὺς δώδεκα, ἤρξατο αὐ-



τοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν. ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι, καὶ τοῖς γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν τοῖς αὐτοῦ ἔθνεσι, καὶ ἐμπαίξουσιν αὐτῷ καὶ μαστιγώσουσιν αὐτὸν, καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου, λέγοντες. Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ὑμῖν. ὁ δὲ εἶπεν αὐτοῖς. τί θέλετε ποιῆσαί με ὑμῖν; οἱ δὲ εἶπον αὐτῷ. δὸς ἡμῖν, ἵνα εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω; καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; οἱ δὲ εἶπον αὐτῷ, δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε. τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς. οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν, οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν ὑμῶν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν ἔσται διάκονος ὑμῶν. καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος. καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. καὶ ἔρχονται εἰς Ἱεριχώ, καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἱεριχὼ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ὄχλου ἱκανοῦ, υἱὸς Τιμαίου Βαρτιμαῖος ὁ τυφλὸς, ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. Καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζαραῖός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν. Ὁ υἱὸς Δαβὶδ Ἰησοῦ ἐλέησόν με. καὶ ἐπετίμων

αὐτῷ πολλοί, ἵνα σιωπήσῃ. ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν, υἱὲ Δαβὶδ ἐλέησόν με. καὶ στὰς ὁ Ἰησοῦς, εἶπεν αὐτὸν φωνηθῆναι. καὶ φωνοῦσιν τὸν τυφλὸν, λέγοντες αὐτῷ. Θάρσει, ἔγειραι, φωνεῖ σε. ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀναστὰς ἦλθεν πρὸς τὸν Ἰησοῦν. καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς. Τί θέλεις ποιήσω σοι; ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ. ῥαββονὶ, ἵνα ἀναβλέψω. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. ὕπαγε, ἡ πίστις σου σέσωκέ σε. καὶ εὐθέως ἀνέβλεψε, καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ.

XI Κεφ. ια. Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ, εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς. ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων κεκάθικεν. λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις ὑμῖν εἴπῃ τί ποιεῖτε τοῦτο; εἴπατε, ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει, καὶ εὐθέως αὐτὸν ἀποστελεῖ ὧδε. Ἀπῆλθον δὲ καὶ εὗρον πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου καὶ λύουσιν αὐτόν, καί τινες τῶν ἐκεῖ ἑστηκότων, ἔλεγον αὐτοῖς τί ποιεῖτε λύοντες τὸν πῶλον; οἱ δὲ εἶπον αὐτοῖς καθὼς ἐνετείλατο ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς. καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν, καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ᾽ αὐτόν. πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν. ἄλλοι δὲ στιβάδας ἔκοπτον ἐκ τῶν δένδρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν. καὶ οἱ προάγοντες, καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον, λέγοντες, ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι κυρίου τοῦ πατρὸς ἡμῶν Δαβὶδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ κύριος καὶ εἰς τὸ ἱερόν. καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα. Καὶ τῇ ἐπ᾽ αὔ-



ριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνασε. καὶ ἰδὼν συκῆν μακρόθεν, ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα εὑρήσει τί ἐν αὐτῇ. καὶ ἐλθὼν ἐπ᾽ αὐτὴν, οὐδὲν εὗρεν εἰ μὴ φύλλα, οὐ γὰρ ἦν καιρὸς σύκων. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ. μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι, καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἔρχονται εἰς Ἱεροσόλυμα, καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας, καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ. καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψε. καὶ οὐκ ἤφιεν, ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ. καὶ ἐδίδασκε, λέγων αὐτοῖς. οὐ γέγραπται, ὅτι ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν; ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν. Καὶ ἤκουσαν οἱ γραμματεῖς, καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσουσιν, ἐφοβοῦντο γὰρ αὐτὸν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως. καὶ πρωῒ παραπορευόμενοι, εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν, καὶ ἀναμνησθεὶς ὁ πέτρος, λέγει αὐτῷ. ῥαββὶ, ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, λέγει αὐτοῖς, ἔχετε πίστιν θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ, ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ. διὰ τοῦτο λέγω ὑμῖν. πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε, ὅτι λαμβάνετε καὶ ἔσται ὑμῖν. Καὶ ὅταν στήκετε προσευχόμενοι, ἀφίετε εἴτι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα, καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς. καὶ οἱ γραμματεῖς, καὶ οἱ πρεσβύτεροι, καὶ λέγουσιν αὐτῷ, ἐν ποίᾳ ἐξουσίᾳ

ταῦτα ποιεῖς, καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν, ἵνα ταῦ-
τα ποιῇς; ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἐπερωτήσω ὑ-
μᾶς κἀγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιῶ. τὸ βάπτισμα ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ
ἀνθρώπων; ἀποκρίθητέ μοι. καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς λέ-
γοντες. ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ, διὰ τί οὖν οὐκ ἐπιστεύ-
σατε αὐτῷ. ἀλλ᾽ ἐὰν εἴπωμεν, ἐξ ἀνθρώπων, ἐφοβοῦντο τὸν λα-
όν. ἅπαντες γὰρ εἶχον τὸν ἰωάννην, ὅτι ὄντως προφήτης ἦν.
καὶ ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ. οὐκ οἴδαμεν. καὶ ὁ Ἰη-
σοῦς ἀποκριθεὶς, λέγει αὐτοῖς. οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ
XII ἐξουσίᾳ ταῦτα ποιῶ. Κεφ. ιβ. Καὶ ἤρξατο αὐτοῖς ἐν πα-
ραβολαῖς λαλεῖν. ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ περιέ-
θηκε φραγμὸν, καὶ ὤρυξεν ὑπολήνιον, καὶ ᾠκοδόμησε πύργον,
καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε καὶ ἀπέστειλε πρὸς
τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ
ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος. οἱ δὲ λαβόντες αὐτὸν ἔδειραν, καὶ
ἀπέστειλαν καινόν. καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦ-
λον, κἀκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν, καὶ ἀπέστειλαν
ἠτιμωμένον. καὶ πάλιν ἄλλον ἀπέστειλε. κἀκεῖνον ἀπέκτειναν,
καὶ πολλοὺς ἄλλους, τοὺς μὲν δέροντες, τοὺς δὲ ἀποκτείνον-
τες. ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν
πρὸς αὐτοὺς ἔσχατον, λέγων, ὅτι ἐντραπήσονται τὸν υἱόν μου.
ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτούς. ὅτι οὗτός ἐστιν ὁ κλη-
ρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτόν, καὶ ὑμῶν ἔσται ἡ κληρονο-
μία. καὶ λαβόντες αὐτὸν, ἀπέκτειναν, καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπε-
λῶνος. Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ
ἀπολέσει τοὺς γεωργούς, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. οὐδὲ
τὴν γραφὴν ταύτην ἀνέγνωτε; λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκο-
δομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, παρὰ κυρίου



ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Καὶ ἐζήτουν
αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον. ἔγνωσαν γὰρ, ὅτι πρὸς
αὐτοὺς τὴν παραβολὴν εἶπε. καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. Καὶ ἀ-
ποστέλλουσι πρὸς αὐτόν τινας τῶν φαρισαίων καὶ τῶν ἡρωδιανῶν,
ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ. οἱ δὲ ἐλθόντες λέγουσιν αὐτῷ. Δι-
δάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδε-
νός, οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ᾽ ἐπ᾽ ἀληθεί-
ας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις, ἔξεστι κῆνσον καίσαρι δοῦναι
ἢ οὔ; δῶμεν, ἢ μὴ δῶμεν; ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν, εἶ-
πεν αὐτοῖς. τί με πειράζετε; φέρετέ μοι δηνάριον, ἵνα ἴδω, οἱ
δὲ ἤνεγκαν. καὶ λέγει αὐτοῖς. τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;
οἱ δὲ εἶπον αὐτῷ, καίσαρος. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐ-
τοῖς. ἀπόδοτε τὰ καίσαρος καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. καὶ
ἐθαύμασαν ἐπ᾽ αὐτῷ. καὶ ἔρχονται σαδδουκαῖοι πρὸς αὐτόν,
οἵτινες λέγουσιν, ἀνάστασιν μὴ εἶναι, καὶ ἐπηρώτησαν αὐτὸν, λέ-
γοντες. Διδάσκαλε, μωσῆς ἔγραψεν ὑμῖν, ὅτι ἐάν τινος ἀ-
δελφὸς ἀποθάνῃ, καὶ καταλείπῃ γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ,
ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξαναστήσῃ
σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. Ἑπτὰ ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος
ἔλαβε γυναῖκα, καὶ ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα, καὶ ὁ δεύ-
τερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς ἀφῆκε σπέρ-
μα. καὶ ὁ τρίτος ὡσαύτως. καὶ ἔλαβον αὐτὴν οἱ ἑπτὰ, καὶ οὐκ
ἀφῆκαν σπέρμα. ἐσχάτη δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ
οὖν ἀναστάσει, ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ
ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν
αὐτοῖς, οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ
τὴν δύναμιν τοῦ θεοῦ; ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦ-
σιν, οὔτε γαμίσκονται, ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς.
περὶ δὲ τῶν νεκρῶν, ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ

μωσέως, ἐπὶ τοῦ βάτου ὡς εἶπεν αὐτῷ ὁ θεὸς, λέγων, ἐγὼ ὁ
θεὸς ἀβραὰμ, καὶ ὁ θεὸς ἰσαὰκ, καὶ ὁ θεὸς ἰακὼβ, οὐκ ἔστιν
ὁ θεὸς νεκρῶν, ἀλλὰ θεὸς ζώντων. ὑμεῖς οὖν πολὺ πλανᾶσθε.
Καὶ προσελθὼν εἷς τῶν γραμματέων ἀκούσας αὐτῶν συζη-
τούντων, εἰδὼς ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐ-
τόν. ποία ἐστὶ πρώτη πάντων ἐντολή; ὁ δὲ Ἰησοῦς ἀπεκρίθη
αὐτῷ, ὅτι πρώτη πασῶν τῶν ἐντολῶν. ἄκουε ἰσραὴλ, κύριος
ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστι. καὶ ἀγαπήσεις κύριον τὸν θεόν
σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,
καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.
αὕτη πρώτη ἐντολή. καὶ δευτέρα ὁμοία αὕτη. ἀγαπήσεις τὸν
πλησίον σου ὡς σεαυτόν. μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι.
καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς. καλῶς διδάσκαλε ἐπ' ἀλη-
θείας εἶπας, ὅτι εἷς ἐστι θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. καὶ
τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς συνέσεως,
καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος. καὶ τὸ ἀγαπᾷν
τὸν πλησίον ὡς ἑαυτὸν πλεῖόν ἐστι πάντων τῶν ὁλοκαυτωμάτων,
καὶ τῶν θυσιῶν. καὶ ὁ Ἰησοῦς ἰδὼν, ὅτι νουνεχῶς ἀπεκρίθη, εἶ-
πεν αὐτῷ. οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ. καὶ οὐδεὶς
οὐκ ἔτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς
ἔλεγε, διδάσκων ἐν τῷ ἱερῷ. Πῶς λέγουσιν οἱ γραμμα-
τεῖς, ὅτι ὁ Χριστὸς υἱός ἐστι δαβίδ; αὐτὸς γὰρ δαβὶδ εἶπεν
ἐν πνεύματι ἁγίῳ. εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δε-
ξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου, ὑποπόδιον τῶν ποδῶν
σου; Αὐτὸς οὖν δαβὶδ λέγει αὐτὸν κύριον, καὶ πόθεν υἱὸς αὐτοῦ
ἐστι; καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως, καὶ ἔλεγεν αὐτοῖς
ἐν τῇ διδαχῇ αὐτοῦ. βλέπετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων
ἐν στολαῖς περιπατεῖν, καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ
πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν



τοῖς δείπνοις. Οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, καὶ
προφάσει μακρὰ προσευχόμενοι. οὗτοι λήψονται περισσότε-
ρον κρίμα. καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου,
ἐθεώρει, πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον.
καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά. καὶ ἐλθοῦσα μία χήρα
πτωχὴ, ἔβαλε λεπτὰ δύο, ὅ ἐστι κοδράντης. καὶ προσκαλεσά-
μενος τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς. Ἀμὴν λέγω ὑμῖν,
ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ, πλεῖον πάντων βέβληκε τῶν βαλλόν-
των εἰς τὸ γαζοφυλάκιον. πάντες γὰρ ἐκ τοῦ περισσεύοντος
αὐτοῖς ἔβαλον, αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα
εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς. Κεφάλαιον ιγ.
Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν XIII
μαθητῶν αὐτοῦ. Διδάσκαλε, ἴδε ποταποὶ λίθοι, καὶ ποτα-
παὶ οἰκοδομαί. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ. βλέ-
πεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ λίθος ἐ-
πὶ λίθῳ, ὃς οὐ μὴ καταλυθῇ. καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν
ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν πέτρος
καὶ ἰάκωβος, καὶ ἰωάννης, καὶ ἀνδρέας, εἰπὲ ἡμῖν, πότε ταῦ-
τα ἔσται; καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ πάντα ταῦτα συντε-
λεῖσθαι; ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς αὐτοῖς, ἤρξατο λέγειν. Βλέπετε
μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί
μου, λέγοντες, ὅτι ἐγώ εἰμι, πολλοὺς πλανήσουσιν. ὅταν δὲ
ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων μὴ θροεῖσθε, δεῖ γὰρ
γενέσθαι, ἀλλ' οὔπω τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθ-
νος, καὶ βασιλεία ἐπὶ βασιλείαν. καὶ ἔσονται σεισμοὶ κατὰ τό-
πους, καὶ ἔσονται λιμοὶ καὶ ταραχαί. ἀρχαὶ ὠδίνων ταῦτα.
βλέπετε δὲ ὑμεῖς ἑαυτούς. παραδώσουσι γὰρ ὑμᾶς εἰς
συνέδρια καὶ εἰς συναγωγάς. δαρήσεσθε. καὶ ἐπὶ ἡγεμόνων
καὶ βασιλέων ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς.

Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον.
ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί
λαλήσητε, μηδὲ μελετᾶτε, ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥ
ρᾳ, τοῦτο λαλεῖτε. Οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦ
μα τὸ ἅγιον. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πα
τὴρ τέκνον. καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσου
σιν αὐτούς. καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.
ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ὅταν δὲ ἴδητε τὸ
βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑ
στὼς ὅπου οὐ δεῖ, ὁ ἀναγινώσκων, νοείτω. Τότε οἱ ἐν τῇ Ἰου
δαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη. ὁ δὲ ἐπὶ τοῦ δώματος, μὴ κατα
βάτω εἰς τὴν οἰκίαν, μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐ
τοῦ. καὶ ὁ εἰς τὸν ἀγρὸν ὤν, μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω, ἆραι
τὸ ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς
θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. προσεύχεσθε δέ, ἵνα
μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος. ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖ
ναι θλίψις, οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς κτίσεως, ἧς ἔκ
τισεν ὁ θεὸς ἕως τοῦ νῦν, καὶ οὐ μὴ γένηται. Καὶ εἰ μὴ κύρι
ος ἐκολόβωσε τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. ἀλλὰ
διὰ τοὺς ἐκλεκτούς, οὓς ἐξελέξατο, ἐκολόβωσε τὰς ἡμέρας.
καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ. ἰδοὺ ὧδε ὁ Χριστός, ἰδοὺ ἐκεῖ,
μὴ πιστεύετε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι, καὶ ψευδοπροφῆ
ται, καὶ δώσουσι σημεῖα καὶ τέρατα, πρὸς τὸ ἀποπλανᾶν εἰ δυ
νατόν, καὶ τοὺς ἐκλεκτούς. ὑμεῖς δὲ βλέπετε, ἰδοὺ προείρηκα ὑ
μῖν πάντα. ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις μετὰ τὴν θλίψιν
ἐκείνην ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος
αὐτῆς, καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται πίπτοντες, καὶ αἱ δυνά
μεις αἱ ἐν τοῖς οὐρανοῖς, σαλευθήσονται. Καὶ τότε ὄψονται
τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως



πολλῆς καὶ δόξης. Καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ,
καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων,
ἀπ' ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ. Ἀπὸ δὲ τῆς συκῆς μάθετε
τὴν παραβολήν. ὅταν αὐτῆς ἤδη ὁ κλάδος ἁπαλὸς γένηται, καὶ
ἐκφύῃ τὰ φύλλα, γινώσκετε, ὅτι ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτως
καὶ ὑμεῖς ὅταν ταῦτα ἴδητε γινόμενα, γινώσκετε, ὅτι ἐγγύς
ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ
αὕτη, μέχρις οὗ πάντα ταῦτα γένηται. ὁ οὐρανὸς καὶ ἡ γῆ πα
ρελεύσονται. οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. περὶ δὲ τῆς ἡμέρας
ἐκείνης, καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ
οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ. Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχε
σθε, οὐκ οἴδατε γάρ, πότε ὁ καιρός ἐστιν. ὡς ἄνθρωπος ἀπόδη
μος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξ
ουσίαν, καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ. καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρη
γορῇ. γρηγορεῖτε οὖν οὐκ οἴδατε γάρ, πότε ὁ κύριος τῆς οἰκίας
ἔρχεται, ὀψὲ ἢ μεσονυκτίου, ἢ ἀλεκτοροφωνίας, ἢ πρωΐ, μὴ ἐλ
θὼν ἐξαίφνης, εὕρῃ ὑμᾶς καθεύδοντας. ἃ δὲ ὑμῖν λέγω, πᾶσι
λέγω, γρηγορεῖτε. Κεφάλ. ιδ. Ἦν δὲ τὸ πάσχα, καὶ τὰ ἄζυμα XIIII
μετὰ δύο ἡμέρας. καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν. ἔλεγον δέ, μὴ
ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ. καὶ ὄντος αὐτοῦ ἐν
Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ ἦλ
θεν γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς.
καὶ συντρίψασα τὸ ἀλάβαστρον, κατέχεεν αὐτοῦ κατὰ τῆς κεφα
λῆς. ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτούς, καὶ λέγον
τες. εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; ἠδύνατο γὰρ
τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων, καὶ δοθῆναι τοῖς
πτωχοῖς, καὶ ἐνεβριμῶντο αὐτῇ. ὁ δὲ Ἰησοῦς εἶπεν. ἄφετε αὐτήν.
τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον εἰργάσατο εἰς ἐμέ.

πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέ-
λητε δύνασθε αὐτοὺς εὖ ποιῆσαι, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.
ὃ εἶχεν αὕτη ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν
ἐνταφιασμόν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγ-
γέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη. λαλη-
θήσεται εἰς μνημόσυνον αὐτῆς. Καὶ ὁ ἰούδας ὁ ἰσκαριώ-
της εἷς τῶν δώδεκα ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παρα-
δῷ αὐτὸν αὐτοῖς. οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγεί-
λαντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει, πῶς εὐκαίρως αὐ-
τὸν παραδῷ. Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πά-
σχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Ποῦ θέλεις ἀ-
πελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ πάσχα; καὶ ἀπο-
στέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς. ὑπάγετε εἰς
τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος
βαστάζων, ἀκολουθήσατε αὐτῷ. καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε
τῷ οἰκοδεσπότῃ, ὅτι ὁ διδάσκαλος λέγει. ποῦ ἐστι τὸ κατά-
λυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; καὶ αὐ-
τὸς ὑμῖν δείξει ἀνώγεον μέγα, ἐστρωμένον, ἕτοιμον, ἐκεῖ ἑτοι-
μάσατε ἡμῖν. καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς
τὴν πόλιν καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πά-
σχα. Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα. καὶ
ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων εἶπεν ὁ Ἰησοῦς. ἀμὴν λέγω
ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ' ἐμοῦ. οἱ
δὲ ἤρξαντο λυπεῖσθαι, καὶ λέγειν αὐτῷ, εἷς καθ' εἷς. μήτι ἐ-
γώ; καὶ ἄλλος μήτι ἐγώ; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς. εἷς
ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον.
ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ.
Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου πα-
ραδίδοται. καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος
ἐκεῖνος



ἐκεῖνος. καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐλογή-
σας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε. λάβετε, φάγετε, τοῦ-
τό ἐστι τὸ σῶμά μου. καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας ἔδω-
κεν αὐτοῖς. καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. καὶ εἶπεν αὐτοῖς, τοῦτό ἐστι
τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον.
ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκ ἔτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμ-
πέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βα-
σιλείᾳ τοῦ θεοῦ. καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.
καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, ὅτι πάντες σκανδαλισθήσεσθε ἐν
ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. ὅτι γέγραπται. πατάξω τὸν ποιμένα,
καὶ διασκορπισθήσεται τὰ πρόβατα. ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με
προάξω ὑμᾶς εἰς τὴν γαλιλαίαν. ὁ δὲ πέτρος ἔφη αὐτῷ. καὶ εἰ
πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ. καὶ λέγει αὐτῷ ὁ
Ἰησοῦς. ἀμὴν λέγω σοι, ὅτι σήμερον ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν
ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. ὁ δὲ ἐκ περισσοῦ
ἔλεγε. μᾶλλον ἐάν με δέῃ συναποθανεῖν σοι, οὐ μή σε ἀπαρ-
νήσομαι. ὡσαύτως δὲ καὶ πάντες ἔλεγον. καὶ ἔρχονται εἰς χωρίον
οὗ τὸ ὄνομα γεθσημανεί, καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ. καθίσα-
τε ὧδε ἕως ἀπελθὼν προσεύξωμαι. καὶ παραλαμβάνει τὸν πέτρον
καὶ τὸν ἰάκωβον καὶ ἰωάννην μεθ' ἑαυτοῦ, καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ
ἀδημονεῖν. καὶ λέγει αὐτοῖς. περίλυπός ἐστιν ἡ ψυχή μου ἕως
θανάτου. μείνατε ὧδε καὶ γρηγορεῖτε. καὶ προελθὼν μικρὸν, ἔπε-
σεν ἐπὶ τῆς γῆς καὶ προσηύχετο. ἵνα εἰ δυνατόν ἐστι παρέλθῃ ἀπ'
αὐτοῦ ἡ ὥρα καὶ ἔλεγεν, ἀββᾶ ὁ πατὴρ, πάντα δυνατά σοι, παρέ-
νεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο. ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί
σύ. καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας. καὶ λέγει
τῷ πέτρῳ. σίμων καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγο-
ρῆσαι; γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρα-
σμόν. τὸ μὲν πνεῦμα πρόθυμον. ἡ δὲ σὰρξ ἀσθενής. καὶ πάλιν

ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών. καὶ ὑποστρέψας εὗρεν αὐτοὺς πάλιν καθεύδοντας. ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι, καὶ οὐκ ᾔδεισαν τί αὐτῷ ἀποκριθῶσι. καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς. καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε. ἀπέχει. ἦλθεν ἡ ὥρα. ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. ἐγείρεσθε ἄγωμεν. ἰδοὺ ὁ παραδιδούς με ἤγγικε. καὶ εὐθέως ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται Ἰούδας εἷς ὢν τῶν δώδεκα, καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων. δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων. ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτὸν καὶ ἀπάγετε ἀσφαλῶς. καὶ ἐλθὼν, εὐθέως προσελθὼν αὐτῷ, λέγει αὐτῷ, ῥαββὶ ῥαββί, καὶ κατεφίλησεν αὐτόν. οἱ δὲ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας αὐτῶν, καὶ ἐκράτησαν αὐτόν. εἷς δέ τῶν παρεστηκότων σπασάμενος τὴν μάχαιραν, ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων, συλλαβεῖν με, καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. ἀλλ᾽ ἵνα πληρωθῶσιν αἱ γραφαί. καὶ ἀφέντες αὐτὸν πάντες ἔφυγον. καὶ εἷς τις νεανίσκος ἠκολούθει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι. ὁ δὲ καταλιπὼν τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ᾽ αὐτῶν. Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα. καὶ συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς. καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ, ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς. οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν, εἰς τὸ θανατῶσαι αὐτὸν, καὶ οὐχ εὕρισκον.



πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. Καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ λέγοντες. ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος, ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον ἐπηρώτησε τὸν Ἰησοῦν λέγων. οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν; ὁ δὲ ἐσιώπα, καὶ οὐδὲν ἀπεκρίνατο. πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν, καὶ λέγει αὐτῷ. σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ; ὁ δὲ Ἰησοῦς εἶπεν, ἐγώ εἰμι. καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ. ὁ δὲ ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας αὐτοῦ, λέγει. τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε τῆς βλασφημίας, τί ὑμῖν φαίνεται; οἱ δὲ πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου. καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ, καὶ κολαφίζειν αὐτὸν, καὶ λέγειν αὐτῷ, προφήτευσον. καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον. καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως, καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ, λέγει. καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ ἦσθα; ὁ δὲ ἠρνήσατο, λέγων, οὐκ οἶδα, οὐδὲ ἐπίσαμαι τί λέγεις. καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον. καὶ ἀλέκτωρ ἐφώνησε. καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν, πάλιν ἤρξατο λέγειν τοῖς παρεστηκόσιν. ὅτι οὗτος ἐξ αὐτῶν ἐστίν. ὁ δὲ πάλιν ἠρνεῖτο. καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ. ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει. ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε. καὶ ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ εἶπεν αὐτῷ ὁ

Ἰησοῦς· ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δίς, ἀπαρνήσῃ με τρίς. καὶ
XV ἐπιβαλὼν ἔκλαιε. Κεφ. ιε. Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ συμ-
βούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ
γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπή-
νεγκαν καὶ παρέδωκαν αὐτὸν πιλάτῳ. καὶ ἐπηρώτησεν αὐτὸν ὁ πι-
λᾶτος· σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐ-
τῷ· σὺ λέγεις. καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά. ὁ
δὲ Πιλᾶτος πάλιν ἐπηρώτησεν αὐτόν, λέγων· οὐκ ἀποκρίνῃ οὐ-
δέν; ἴδε πόσα σου καταμαρτυροῦσιν. ὁ δὲ Ἰησοῦς οὐκέτι οὐ-
δὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν πιλᾶτον. Κατὰ δὲ ἑορτὴν
ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο. ἦν δὲ ὁ λεγόμε-
νος βαραββᾶς, μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες
ἐν τῇ στάσει φόνον πεποιήκασι. καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρ-
ξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς. ὁ δὲ πιλᾶτος ἀπεκρί-
θη αὐτοῖς, λέγων· Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν ἰου-
δαίων; ἐγίνωσκε γάρ, ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ
ἀρχιερεῖς. οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν
βαραββᾶν ἀπολύσῃ αὐτοῖς. ὁ δὲ πιλᾶτος ἀποκριθεὶς πάλιν,
εἶπεν αὐτοῖς· τί οὖν θέλετε ποιήσω, ὃν λέγετε βασιλέα τῶν
ἰουδαίων; οἱ δὲ πάλιν ἔκραξαν· σταύρωσον αὐτόν. ὁ δὲ πιλᾶτος
ἔλεγεν αὐτοῖς· τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσοτέρως ἔκρα-
ξαν· σταύρωσον αὐτόν. ὁ δὲ πιλᾶτος βουλόμενος τῷ ὄχλῳ τὸ
ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν, καὶ παρέδω-
κε τὸν Ἰησοῦν φραγελλώσας, ἵνα σταυρωθῇ. Οἱ δὲ στρατιῶται ἀ-
πήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦ-
σιν ὅλην τὴν σπεῖραν, καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περι-
τιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ ἤρξαντο ἀσπά-
ζεσθαι αὐτόν. Χαῖρε βασιλεῦ τῶν ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ
τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ. καὶ τιθέντες τὰ γό-
νατα προσεκύνουν αὐτῷ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν
αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια,
καὶ ἐξάγουσιν αὐτόν, ἵνα σταυρώσωσιν αὐτόν. καὶ ἀγγαρεύουσι
παράγοντά τινα σίμωνα κυρηναῖον, ἐρχόμενον ἀπὸ ἀγροῦ, τὸν
πατέρα ἀλεξάνδρου καὶ ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. καὶ φέ-
ρουσιν αὐτὸν ἐπὶ γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον, κρα-
νίου τόπος. καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον. ὁ
δὲ οὐκ ἔλαβε. καὶ σταυρώσαντες αὐτόν, διεμέριζον τὰ ἱμάτια
αὐτοῦ. βάλλοντες κλῆρον ἐπ᾽ αὐτά, τίς τί ἄρῃ. ἦν δὲ ὥρα τρίτη καὶ
ἐσταύρωσαν αὐτόν. καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμ-
μένη· ὁ βασιλεὺς τῶν ἰουδαίων. καὶ σὺν αὐτῷ σταυροῦσι δύο
λῃστάς, ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. καὶ ἐπληρώθη
ἡ γραφή, ἡ λέγουσα· καὶ μετὰ ἀνόμων ἐλογίσθη. καὶ οἱ παρα-
πορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐ-
τῶν, καὶ λέγοντες· οὐαὶ ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέ-
ραις οἰκοδομῶν, σῶσον σεαυτόν, καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. ὁ-
μοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν
γραμματέων, ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶ-
σαι. ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυ-
ροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ
ὠνείδιζον αὐτόν. γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο
ἐφ᾽ ὅλην τὴν γῆν, ἕως ὥρας ἐννάτης. καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ ἐ-
βόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· ἐλωΐ ἐλωΐ, λαμὰ σα-
βαχθανί. ὅ ἐστι μεθερμηνευόμενον, ὁ θεός μου, ὁ θεός μου, εἰς
τί με ἐγκατέλιπες. καὶ τινὲς τῶν παρεστηκότων ἀκούσαντες, ἔλε-
γον· ἰδού ἠλίαν φωνεῖ. δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον
ὄξους περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτόν, λέγων· ἄφετε, ἴδω-
μεν εἰ ἔρχεται ἠλίας καθελεῖν αὐτόν. ὁ δὲ Ἰησοῦς ἀφεὶς φω-
νὴν μεγάλην, ἐξέπνευσε. καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη

εἰς δύο ἀπ' ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστη-
κὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν· ἀ-
ληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν θεοῦ. Ἦσαν δὲ καὶ γυναῖκες
ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς ἦν μαρία ἡ μαγδαληνή, καὶ
μαρία ἡ ἰακώβου τοῦ μικροῦ, καὶ ἰωσῆ μήτηρ, καὶ σαλώμη, αἳ καὶ ὅτε
ἦν ἐν τῇ γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ, καὶ διηκόνουν αὐτῷ,
καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς ἱεροσόλυμα.
Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευὴ, ὅ ἐστι προσάβ-
βατον, ἐλθὼν ἰωσὴφ ὁ ἀπὸ ἀριμαθαίας εὐσχήμων βουλευτὴς,
ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ, τολμή-
σας εἰσῆλθε πρὸς πιλᾶτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. ὁ δὲ
πιλᾶτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκε. καὶ προσκαλεσάμενος τὸν
κεντυρίωνα ἐπηρώτησεν αὐτὸν, εἰ πάλαι ἀπέθανε. καὶ γνοὺς
ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ ἰωσήφ. καὶ ἀγο-
ράσας σινδόνα καὶ καθελὼν αὐτὸν ἐνείλησε τῇ σινδόνι. καὶ κα-
τέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ τῆς πέτρας καὶ
προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. ἡ δὲ μαρία ἡ μαγ-
δαληνὴ καὶ μαρία ἰωσῆ ἐθεώρουν ποῦ τίθεται. Κεφ. ις.

XVI Καὶ διαγενομένου τοῦ σαββάτου, μαρία ἡ μαγδαληνὴ καὶ μα-
ρία ἰακώβου καὶ σαλώμη, ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀ-
λείψωσιν αὐτόν. καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ
τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἔλεγον πρὸς ἑαυτάς.
τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; καὶ ἀνα-
βλέψασαι, θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος, ἦν γὰρ μέγας
σφόδρα. καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον κα-
θήμενον ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐξε-
θαμβήθησαν. ὁ δὲ λέγει αὐταῖς. μὴ ἐκθαμβεῖσθε, Ἰησοῦν ζητεῖ-
τε τὸν ναζαρηνὸν τὸν ἐσταυρωμένον, ἠγέρθη, οὐκ ἔστιν ὧδε, ἴδε ὁ
τόπος ὅπου ἔθηκαν αὐτόν. ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθη-



ταῖς αὐτοῦ καὶ τῷ πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν γαλι-
λαίαν, ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. καὶ ἐξελθοῦσαι τα-
χὺ ἔφυγον ἀπὸ τοῦ μνημείου, εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις
καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ. Ἀναστὰς δὲ πρωῒ πρώ-
τῃ σαββάτου, ἐφάνη πρῶτον μαρίᾳ τῇ μαγδαληνῇ, ἀφ' ἧς
ἐκβεβλήκει ἑπτὰ δαιμόνια. ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς
μετ' αὐτοῦ γενομένοις πενθοῦσι καὶ κλαίουσι, κἀκεῖνοι ἀκού-
σαντες, ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. μετὰ δὲ ταῦτα
δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν, ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ,
πορευομένοις εἰς ἀγρόν. κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς
λοιποῖς. οὐδὲ ἐκείνοις ἐπίστευσαν. ὕστερον ἀνακειμένοις αὐτοῖς
τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν, καὶ
σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον,
οὐκ ἐπίστευσαν, καὶ εἶπεν αὐτοῖς. πορευθέντες εἰς τὸν κόσμον
ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. ὁ πιστεύσας
καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. ση-
μεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει. ἐν τῷ ὀνό-
ματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς,
ὄφεις ἀροῦσι, κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλά-
ψει. ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν
οὖν κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρα-
νὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ. ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκή-
ρυξαν πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαι-
οῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.

ΤΟΥ ΚΑΤΑ ΜΑΡΚΟΝ

ΕΥΑΓΓΕΛΙΟΥ

ΤΕΛΟΣ.

## ΒΙΟΣ ΤΟΥ ΛΟΥΚΑ ΕΚ ΤΗΣ ΤΟΥ ΔΩΡΟΘΕΟΥ ΜΑΡΤΥΡΟΣ ΚΑΙ ΤΥΡΙ ΩΝ ΕΠΙΣΚΟΠΟΥ ΣΥ ΝΟΨΕΩΣ.

ΛΟΥΚΑΣ ὁ εὐαγγελιστὴς ἀντιοχεὺς μὲν τὸ
γένος ἦν, ἰατρὸς δὲ τὴν τέχνην. συνέγραψε
λ τὸ δὲ τὸ μὲν εὐαγγέλιον, κατ᾽ ἐπιτροπὴν πέ
τρου τοῦ ἀποστόλου, τὰς δὲ πράξεις τῶν ἀπο
στόλων κατ᾽ ἐπιτροπὴν παύλου τοῦ ἀποστόλου. συ
νεπεδήμησε γὰρ τοῖς ἀποστόλοις, καὶ μάλιστα τῷ παύλῳ,
οὗ καὶ μνημονεύσας ὁ παῦλος, ἔγραψεν ἐν ἐπιστολῇ, ἀσπάζε
ται ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς ἐν κυρίῳ. ἀπέθανε δὲ ἐν
ἐφέσῳ καὶ ἐτάφη ἐκεῖ, μετετέθη δὲ ὕστερον ἐν κωνσταντίνου
πόλεως μετὰ καὶ ἀνδρέα καὶ τιμοθέου τῶν ἀποστό
λων, κατὰ τοὺς καιροὺς κωνσταντίου βασιλέ
ως, υἱοῦ κωνσταντίνου τοῦ με
γάλου.



## ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ.

Κεφάλαιον πρῶτον.

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξα I
σθαι διήγησιν περὶ τῶν πεπληροφορημένων
ʒ ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδωσαν
ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται
γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοὶ παρηκο
λουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς
σοι γράψαι κράτιστε θεόφιλε, ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης
λόγων τὴν ἀσφάλειαν. Ἐγένετο ἐν ταῖς ἡμέραις ἡρώδου
τοῦ βασιλέως τῆς ἰουδαίας, ἱερεύς τις ὀνόματι ζαχαρίας, ἐξ ἐ
φημερίας ἀβιά. καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων ἀαρών, καὶ τὸ
ὄνομα αὐτῆς ἐλισάβετ. ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ θε
οῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ
κυρίου ἄμεμπτοι. καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ ἐλισά
βετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐ
τῶν ἦσαν. ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφη
μερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλα
χε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν ναὸν τοῦ κυρίου, καὶ πᾶν τὸ πλῆ
θος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος.
ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστη
ρίου τοῦ θυμιάματος. καὶ ἐταράχθη ζαχαρίας ἰδών, καὶ φό
βος ἐπέπεσεν ἐπ᾽ αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος. μὴ φο
βοῦ ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου
ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰωάννην,
καὶ ἔσται χαρά σοι, καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐ
τοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον κυρίου, καὶ οἶνον καὶ σίκερα

οὐ μὴ πίῃ· καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μη-
τρὸς αὐτοῦ, καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει πρὸς κύριον τὸν
θεὸν αὐτῶν. καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι
καὶ δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα,
καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι κυρίῳ λαὸν κατε-
σκευασμένον, καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· κατὰ τί γνώ-
σομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προ-
βεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. καὶ ἀποκριθεὶς ὁ ἄγγελος,
εἶπεν αὐτῷ· ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ, καὶ
ἀπεστάλην λαλῆσαι πρός σε, εὐαγγελίσασθαί σοι ταῦτα. καὶ
ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέ-
ρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου οἵτι-
νες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδο-
κῶν τὸν Ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ
ναῷ. ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς. καὶ ἐπέγνωσαν,
ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ. καὶ αὐτὸς ἦν διανεύων αὐ-
τοῖς, καὶ διέμενε κωφός. καὶ ἐγένετο, ὡς ἐπλήσθησαν αἱ ἡμέραι
τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. μετὰ δὲ ταύτας
τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν
ἑαυτὴν μῆνας πέντε, λέγουσα ὅτι οὕτω μοι πεποίηκεν ὁ κύριος
ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις.
Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ θε-
οῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέθ, πρὸς παρθένον με-
μνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαβίδ, καὶ τὸ ὄνο-
μα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐ-
τήν, εἶπεν· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ, εὐλογη-
μένη σὺ ἐν γυναιξίν. ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λόγῳ
αὐτοῦ καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. καὶ
εἶπεν ὁ ἄγγελος αὐτῇ· μὴ φοβοῦ Μαριάμ, εὗρες γὰρ χάριν πα-

ρὰ τῷ



ρὰ τῷ θεῷ. ἰδοὺ συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ υἱόν, καὶ καλέσεις
τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθή-
σεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πα-
τρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας καὶ
τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγ-
γελον· πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ ἀποκριθεὶς
ὁ ἄγγελος. εἶπεν αὐτῇ· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ
δύναμις ὑψίστου ἐπισκιάσει σοι. διὸ καὶ τὸ γεννώμενον ἅγιον,
κληθήσεται υἱὸς θεοῦ. καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, καὶ
αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς. καὶ οὗτος μὴν ἕκτος ἐστὶν
αὐτῇ τῇ καλουμένῃ στείρᾳ, ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ θεῷ
πᾶν ῥῆμα. εἶπεν δὲ Μαριάμ· ἰδοὺ ἡ δούλη κυρίου, γένοιτό
μοι κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος. Ἀνα-
στᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις, ἐπορεύθη εἰς τὴν
ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶ-
κον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. καὶ ἐγένετο, ὡς ἤ-
κουσεν Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέ-
φος ἐν τῇ κοιλίᾳ αὐτῆς. καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλι-
σάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· εὐλογημένη σὺ
ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πό-
θεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρός με; ἰδοὺ γὰρ
ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτη-
σεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου. καὶ μακαρία
ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ πα-
ρὰ κυρίου. καὶ εἶπε Μαριάμ. Μεγαλύνει ἡ ψυχή μου τὸν κύ-
ριον. Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου
ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ
γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐ-
ποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.

Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς καὶ γενεὰς τοῖς φοβουμένοις αὐτόν.
Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους
διανοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ
ὕψωσε ταπεινούς. Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦν-
τας ἐξαπέστειλε κενούς. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνη-
σθῆναι ἐλέους. Καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ
Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα. Ἔμεινε δὲ Μαριὰμ
σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.
Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν
υἱόν. καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγά-
λυνε κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. καὶ
ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ, ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐ-
κάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ ζαχαρίαν. καὶ ἀπο-
κριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν. οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης.
καὶ εἶπον πρὸς αὐτήν, ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου,
ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ,
τί ἂν θέλοι καλεῖσθαι αὐτόν. καὶ αἰτήσας πινακίδιον ἔγρα-
ψε λέγων, Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν πάν-
τες. ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα
αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν. καὶ ἐγένετο ἐπὶ πάντας
φόβος τοὺς περιοικοῦντας αὐτούς, καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς
Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. καὶ ἔθεντο πάν-
τες οἱ ἀκούσαντες, ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες. τί ἄρα
τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ κυρίου ἦν μετ' αὐτοῦ. καὶ ζα-
χαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου, καὶ προεφή-
τευσε λέγων. Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέ-
ψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. καὶ ἤγειρε κέρας
σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. καθὼς
ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν



αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν
μισούντων ἡμᾶς. ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν,
καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. ὅρκον ὃν ὤμοσε πρὸς
Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν, ἀφόβως ἐκ χει-
ρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας. λατρεύειν αὐτῷ, ἐν ὁσιό-
τητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς
ζωῆς ἡμῶν. καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ, προ-
πορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.
τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρ-
τιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἐν οἷς ἐπε-
σκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ
σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν
εἰς ὁδὸν εἰρήνης. Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύ-
ματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ
πρὸς τὸν Ἰσραήλ. Κεφάλ. β. Ἐγένετο δὲ ἐν ταῖς ἡμέ- II
ραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ καίσαρος αὐγούστου, ἀ-
πογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ πρώτη
ἐγένετο ἡγεμονεύοντος τῆς συρίας κυρηνίου. καὶ ἐπορεύοντο
πάντες ἀπογράφεσθαι ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. ἀνέβη δὲ
καὶ Ἰωσὴφ ἀπὸ τῆς γαλιλαίας, ἐκ πόλεως ναζαρέθ, εἰς τὴν
Ἰουδαίαν, εἰς πόλιν Δαβίδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ
εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ἀπογράψασθαι σὺν
Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικί, οὔσῃ ἐγκύῳ. ἐγένετο
δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν
αὐτήν. καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργά-
νωσεν αὐτόν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν
αὐτοῖς τόπος ἐν τῷ καταλύματι. καὶ ποιμένες ἦσαν ἐν τῇ
χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς
νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη

αὐτοῖς, καὶ δόξα κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν, καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, μὴ φοβεῖσθε, ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς κύριος, ἐν πόλει Δαβίδ. καὶ τοῦτο ὑμῖν τὸ σημεῖον. εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν φάτνῃ. καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν θεὸν, καὶ λεγόντων. δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἀνθρώποις εὐδοκία. καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους, διέλθωμεν δὴ ἕως βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν. καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε μαριὰμ καὶ τὸν ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. ἰδόντες δὲ, διεγνώρισαν περὶ τοῦ ῥήματος, τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. ἡ δὲ μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ ὑπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν, οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς. καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον μωσέως, ἀνήγαγον αὐτὸν εἰς ἱεροσόλυμα, παραστῆσαι τῷ κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ κυρίου. ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται. καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν ἱερουσαλὴμ, ᾧ ὄνομα σιμεών. καὶ ὁ ἄνθρωπος οὗτος

δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τοῦ ἰσραὴλ καὶ πνεῦμα ἅγιον ἦν ἐπ᾽ αὐτόν. καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν κυρίου. καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν. καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου, περὶ αὐτοῦ καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν θεὸν, καὶ εἶπεν. Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου ἰσραήλ. καὶ ἦν ὁ πατὴρ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. καὶ εὐλόγησεν αὐτοὺς σιμεὼν καὶ εἶπε πρὸς μαριὰμ τὴν μητέρα αὐτοῦ. ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν, καὶ ἀνάστασιν πολλῶν ἐν τῷ ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. καί σου δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία. ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. καὶ ἦν ἄννα προφῆτις θυγάτηρ φανουὴλ ἐκ φυλῆς ἀσὴρ, αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς. καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοήκοντατεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. καὶ αὕτη τῇ αὐτῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν ἱερουσαλήμ. καὶ ὡς ἐτέλεσαν ἅπαντα κατὰ τὸν νόμον κυρίου, ὑπέστρεψαν εἰς τὴν γαλιλαίαν εἰς πόλιν αὐτῶν ναζαρέθ. τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις θεοῦ ἦν ἐπ᾽ αὐτό. Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽ ἔτος εἰς ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα, καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς.

καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ. νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδὸν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν. καὶ ἐν τοῖς γνωστοῖς, καὶ μὴ εὑρόντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, ζητοῦντες αὐτόν, καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς, εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν. καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. καὶ κατέβη μετ' αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέθ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. ἡ δὲ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις. Κεφαλ. γ.

III Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπ' ἀρχιερέων Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ, πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν



καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται. καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ. γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. πᾶν οὖν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες· τί οὖν ποιήσομεν; ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω. ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· διδάσκαλε, τί ποιήσομεν; ὁ δὲ εἶπε πρὸς αὐτούς· μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· καὶ ὑμεῖς τί ποιήσομεν. καὶ εἶπε πρὸς αὐτούς· μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν, προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός, ἀπεκρίνατο ὁ Ἰωάννης, ἅπασι λέγων· ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί, οὗ τὸ πτύον ἐν χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο τῷ λαῷ. ὁ δὲ Ἡρώδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ Ἡρωδιάδος τῆς γυναι-

κὸς τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων, ὧν ἐποίησε πονηρῶν ὁ Ἡρώδης, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν, καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανὸν, καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ' αὐτὸν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν· σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν σοὶ ηὐδόκησα. καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος, ὢν, ὡς ἐνομίζετο, υἱὸς Ἰωσὴφ, τοῦ ἠλεὶ, τοῦ ματθὰτ, τοῦ λευὶ, τοῦ μελχὶ, τοῦ ἰαννὰ, τοῦ ἰωσὴφ, τοῦ ματταθίου, τοῦ ἀμὼς, τοῦ ναοὺμ, τοῦ ἐσλὶ, τοῦ ναγγὲ, τοῦ μαὰθ, τοῦ ματταθίου, τοῦ σεμεῒ, τοῦ ἰωσὴφ, τοῦ ἰούδα, τοῦ ἰωαννᾶ, τοῦ ῥησὰ, τοῦ ζοροβάβελ, τοῦ σαλαθιὴλ, τοῦ νηρὶ, τοῦ μελχὶ, τοῦ ἀδδὶ, τοῦ κωσὰμ, τοῦ ἐλμωδὰμ, τοῦ ἢρ, τοῦ ἰωσὴ, τοῦ ἐλιέζερ, τοῦ ἰωρεὶμ, τοῦ ματθὰτ, τοῦ λευὶ, τοῦ σιμεὼν, τοῦ ἰούδα, τοῦ ἰωσὴφ, τοῦ ἰωνὰν, τοῦ ἐλιακεὶμ, τοῦ μελεᾶ, τοῦ μαϊνὰν, τοῦ ματταθὰ, τοῦ ναθὰν, τοῦ δαβὶδ, τοῦ ἰεσσαὶ, τοῦ ὠβὴδ, τοῦ βοὸζ, τοῦ σαλμὼν, τοῦ ναασσὼν, τοῦ ἀμιναδὰβ, τοῦ ἀρὰμ, τοῦ ἐσρὼμ, τοῦ φαρὲς, τοῦ ἰούδα, τοῦ ἰακὼβ, τοῦ ἰσαὰκ, τοῦ ἀβραὰμ, τοῦ θάρα, τοῦ ναχὼρ, τοῦ σαροὺχ, τοῦ ῥαγαῦ, τοῦ φαλὲκ, τοῦ ἕβερ, τοῦ σαλὰ, τοῦ καϊνὰν, τοῦ ἀρφαξὰδ, τοῦ σὴμ, τοῦ νῶε, τοῦ λάμεχ, τοῦ μαθουσάλα, τοῦ ἐνὼχ, τοῦ ἰαρὲδ, τοῦ μαλελεὴλ, τοῦ καϊνὰν, τοῦ ἐνὼς, τοῦ σὴθ, τοῦ ἀδὰμ, τοῦ θεοῦ.

IIII Κεφ. δ. Ἰησοῦς δὲ πνεύματος ἁγίου πλήρης, ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς τὴν ἔρημον, ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν, ὕστερον ἐπείνασε. καὶ εἶπεν αὐτῷ ὁ διάβολος· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν λέγων· γέγραπται, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ. καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβο-



λος εἰς ὄρος ὑψηλὸν, ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου, καὶ εἶπεν αὐτῷ ὁ διάβολος· σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πάντα. καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς· ὕπαγε ὀπίσω μου σατανᾶ· γέγραπται γάρ· Προσκυνήσεις κύριον τὸν θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ ἤγαγεν αὐτὸν εἰς Ἱερουσαλὴμ, καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω. γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι εἴρηται, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ. καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν, καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ. καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων. καὶ ἦλθεν εἰς τὴν Ναζαρὲθ, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγὴν, καὶ ἀνέστη ἀναγνῶναι. καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἠσαΐου τοῦ προφήτου· καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον, οὗ ἦν γεγραμμένον· Πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν. καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε. Καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ, ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς, ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν

τοῖς ὠσὶν ὑμῶν. καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἔλεγον. οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ; καὶ εἶπε πρὸς αὐτούς. πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην. ἰατρὲ θεράπευσον σεαυτόν, ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. εἶπε δέ, ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις ἠλίου ἐν τῷ ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη ἠλίας, εἰμὴ εἰς σάρεφθα τῆς σιδῶνος πρὸς γυναῖκα χήραν. καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ ἐλισσαίου τοῦ προφήτου ἐν τῷ ἰσραήλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη, εἰμὴ νεεμὰν ὁ σύρος. Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες ταῦτα καὶ ἀναστάντες, ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν. αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο. καὶ κατῆλθεν εἰς καπερναοὺμ πόλιν τῆς γαλιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος, ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ, λέγων, ἔα, τί ἡμῖν καί σοι Ἰησοῦ ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς, οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων. φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. καὶ ἐγένετο θάμβος ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγοντες. τίς ὁ λόγος οὗτος; ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται. καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου. ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν σίμωνος. ἡ πενθερὰ δὲ τοῦ σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν. καὶ παραχρῆμα ἀναστᾶσα, διηκόνει αὐτοῖς. Δύνοντος δὲ τοῦ ἡλίου, ἅπαντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐτόν. ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθείς, ἐθεράπευσεν αὐτούς. Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα καὶ λέγοντα. ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. καὶ ἐπιτιμῶν, οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι. Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον. καὶ οἱ ὄχλοι ἐζήτουν αὐτόν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν. ὁ δὲ εἶπε πρὸς αὐτούς. ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ θεοῦ, ὅτι εἰς τοῦτο ἀπέσταλμαι. καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς τῆς γαλιλαίας.

Κεφ. ε. Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ, τοῦ ἀκούειν τὸν λόγον τοῦ θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην γεννησαρέθ. καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην. οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ' αὐτῶν, ἀπέπλυναν τὰ δίκτυα. ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ σίμωνος, ἠρώτησεν αὐτὸν, ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον. καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν σίμωνα. ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. καὶ ἀποκριθεὶς ὁ σίμων, εἶπεν αὐτῷ, ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάζοντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ, διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν.

καὶ κατένευσαν τοῖς μετόχοις, τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς. καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. ἰδὼν δὲ σίμων πέτρος, προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ λέγων· ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι κύριε. θάμβος γὰρ περιέσχεν αὐτὸν, καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων, ᾗ συνέλαβον, ὁμοίως δὲ καὶ ἰάκωβον καὶ ἰωάννην υἱοὺς ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ σίμωνι. καὶ εἶπε πρὸς τὸν σίμωνα ὁ Ἰησοῦς· μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα ἠκολούθησαν αὐτῷ. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας, καὶ ἰδὼν τὸν Ἰησοῦν πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων· κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, εἰπών· θέλω, καθαρίσθητι. καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ. καὶ αὐτὸς παρήγγειλεν αὐτῷ, μηδενὶ εἰπεῖν, ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε μωσῆς εἰς μαρτύριον αὐτοῖς. διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν. αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθήμενοι φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς γαλιλαίας καὶ ἰουδαίας καὶ ἱερουσαλήμ. καὶ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον, ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν, καὶ θεῖναι ἐνώπιον αὐτοῦ, καὶ μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν αὐτῶν,



εἶπεν αὐτῷ· ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, λέγοντες· τίς ἐστιν οὗτος, ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός; ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, ἔγειραι καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλυτικῷ· σοὶ λέγω, ἔγειραι. καὶ ἄρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου. καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ὃ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν θεόν. καὶ ἔκστασις ἔλαβεν ἅπαντας, καὶ ἐδόξαζον τὸν θεόν, καὶ ἐπλήσθησαν φόβου, λέγοντες, ὅτι εἴδομεν παράδοξα σήμερον. καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην, ὀνόματι λευῒν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ· ἀκολούθει μοι. καὶ καταλιπὼν ἅπαντα ἀναστὰς, ἠκολούθησεν αὐτῷ. καὶ ἐποίησε δοχὴν μεγάλην λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ ἦν ὄχλος τελωνῶν πολύς, καὶ ἄλλων, οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι. καὶ ἐγόγγυζον οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες· διὰ τί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες, οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Οἱ δὲ εἶπον πρὸς αὐτόν· διὰ τί οἱ μαθηταὶ ἰωάννου νηστεύουσι πυκνὰ, καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν; ὁ δὲ εἶπε πρὸς αὐτούς· μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι ποιῆσαι νηστεύειν; ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος,

τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς· ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν, εἰ δὲ μή γε, καὶ τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ τὸ ἐπίβλημα ἀπὸ τοῦ καινοῦ. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, εἰ δὲ μή γε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκούς, καὶ αὐτὸς ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται. ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται. καὶ οὐδεὶς πιὼν παλαιὸν, εὐθέως θέλει νέον, λέγει γὰρ ὁ παλαιὸς χρηστότερός ἐστιν.

VI Κεφ. ϛ. Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων, καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί. τινὲς δὲ τῶν φαρισαίων εἶπον αὐτοῖς· τί ποιεῖτε, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι; καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· οὐδὲ τοῦτο ἀνέγνωτε, ὃ ἐποίησε Δαβίδ, ὁπότε ἐπείνασεν αὐτὸς, καὶ οἱ μετ' αὐτοῦ ὄντες, ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε καὶ ἔφαγε καὶ ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν, εἰ μὴ μόνους τοὺς ἱερεῖς; καὶ ἔλεγεν αὐτοῖς, ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν. Καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. Παρετήρουν δὲ αὐτὸν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ. αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· ἔγειραι, καὶ στῆθι εἰς τὸ μέσον. ὁ δὲ ἀναστὰς ἔστη. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς· ἐπερωτήσω ὑμᾶς, τί ἔξεστι τοῖς σάββασιν, ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀπολέσαι; καὶ περιβλεψάμενος πάντας αὐτούς, εἶπε τῷ ἀνθρώπῳ, ἔκτεινον τὴν χεῖρά σου. ὁ δὲ ἐποίησε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ. καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε, σίμωνα, ὃν καὶ ὠνόμασε πέτρον, καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, ἰάκωβον καὶ ἰωάννην, φίλιππον, καὶ βαρθολομαῖον, ματθαῖον, καὶ θωμᾶν, ἰάκωβον τὸν τοῦ ἀλφαίου καὶ σίμωνα τὸν καλούμενον ζηλωτὴν, ἰούδαν ἰακώβου καὶ ἰούδαν ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης. Καὶ καταβὰς μετ' αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς ἰουδαίας καὶ ἱερουσαλὴμ, καὶ τῆς παραλίου τύρου καὶ σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς, ἔλεγε· Μακάριοι οἱ πτωχοὶ ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε. Οὐαὶ ὑμῖν, οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε. Οὐαὶ ὑμῖν, ὅταν καλῶς

ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. Κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν. Ἀλλ' ὑμῖν λέγω τοῖς ἀκούουσιν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην. καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου. καὶ ἀπὸ τοῦ αἴροντος τὰ σά, μὴ ἀπαίτει. καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. Μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε. Ἀπολύετε, καὶ ἀπολυθήσεσθε. Δίδοτε, καὶ δοθήσεται ὑμῖν. μέτρον καλὸν πεπιεσμένον, καὶ σεσαλευμένον, καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. εἶπε δὲ παραβολὴν αὐτοῖς. Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; Οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται; Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ, κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ, οὐ κατα-



νοεῖς; ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου· ἀδελφέ, ἄφες, ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις, ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. οὐ γάρ ἐστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρὸν, οὐδὲ δένδρον σαπρὸν, ποιοῦν καρπὸν καλόν. ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται. οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα. οὐδὲ ἐκ βάτου τρυγῶσι σταφυλήν. ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ ἀγαθόν. καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρόν. ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ. τί δέ με καλεῖτε κύριε, κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω. πᾶς ὁ ἐρχόμενος πρός με, καὶ ἀκούων μου τῶν λόγων, καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος. ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν. πλημμύρας δὲ γενομένης, προσέῤῥηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἴσχυσε σαλεῦσαι αὐτήν, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. ὁ δὲ ἀκούσας, καὶ μὴ ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου, ᾗ προσέῤ-
ῥηξεν ὁ ποταμὸς, καὶ εὐθέως ἔπεσε, καὶ ἐγένετο τὸ ῥῆγμα
τῆς οἰκίας ἐκείνης μέγα. Κεφ. ζ. Ἐπεὶ δὲ ἐπλήρωσε VII
πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ. ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων, ἤμελλε τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτόν, ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέ-

γοντες, ὅτι ἄξιός ἐστιν ᾧ παρέξει τοῦτο. ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡ-
μῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. ὁ δὲ Ἰησοῦς
ἐπορεύετο σὺν αὐτοῖς. ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀ-
πὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους,
λέγων αὐτῷ. κύριε, μὴ σκύλλου, οὐ γάρ εἰμι ἱκανὸς ἵνα ὑπὸ τὴν
στέγην μου εἰσέλθῃς. διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν,
ἀλλὰ εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. Καὶ γὰρ ἐγὼ ἄν-
θρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρα-
τιώτας, καὶ λέγω τούτῳ. πορεύθητι, καὶ πορεύεται. καὶ ἄλλῳ,
ἔρχου, καὶ ἔρχεται. καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ.
ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, ἐθαύμασεν αὐτόν. καὶ στραφεὶς
τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε. λέγω ὑμῖν, οὐδὲ ἐν τῷ
ἰσραὴλ τοσαύτην πίστιν εὗρον. Καὶ ὑποστρέψαντες οἱ πεμφθέν-
τες εἰς τὸν οἶκον, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα.
Καὶ ἐγένετο ἐν τῷ ἑξῆς ἐπορεύετο εἰς πόλιν, καλουμένην να-
ΐν, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος
πολύς, ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομί-
ζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ. Καὶ αὕτη ἦν χή-
ρα, καὶ ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ. καὶ ἰδὼν αὐτὴν ὁ κύρι-
ος ἐσπλαγχνίσθη ἐπ᾽ αὐτήν, καὶ εἶπεν αὐτῇ. Μὴ κλαῖε.
καὶ προσελθὼν ἥψατο τῆς σοροῦ. οἱ δὲ βαστάζοντες ἔστησαν,
καὶ εἶπε. Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. καὶ ἀνεκάθισεν ὁ
νεκρὸς, καὶ ἤρξατο λαλεῖν, καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.
ἔλαβε δὲ φόβος πάντας, καὶ ἐδόξαζον τὸν θεὸν, λέγοντες,
ὅτι προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν. καὶ ὅτι ἐπεσκέψατο
ὁ θεὸς τὸν λαὸν αὐτοῦ. Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ
ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ. καὶ ἀπήγγειλαν
ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. καὶ προσκα-
λεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ ἰωάννης, ἔπεμψε



πρὸς τὸν Ἰησοῦν, λέγων. σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσ-
δοκῶμεν; παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες, εἶπον.
Ἰωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρός σε, λέγων. Σὺ
εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν; Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ
ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων, καὶ μαστίγων, καὶ πνευμάτων
πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. Καὶ
ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς. Πορευθέντες ἀπαγγεί-
λατε ἰωάννῃ, ἃ εἴδετε καὶ ἠκούσατε, ὅτι τυφλοὶ ἀναβλέπου-
σι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούου-
σι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται, καὶ μακάρι-
ός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Ἀπελθόντων δὲ τῶν
ἀγγέλων ἰωάννου, ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους περὶ ἰω-
άννου. Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον
ὑπὸ ἀνέμου σαλευόμενον; Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; ἄν-
θρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ οἱ ἐν ἱμα-
τισμῷ ἐνδόξῳ, καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις
εἰσίν. Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; προφήτην; Ναὶ λέγω
ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτός ἐστι περὶ οὗ γέγρα-
πται. Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου,
ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Λέγω γὰρ
ὑμῖν. Μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης ἰωάννου τοῦ
βαπτιστοῦ οὐδείς ἐστιν. Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ
θεοῦ, μείζων αὐτοῦ ἐστι. Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τε-
λῶναι ἐδικαίωσαν τὸν θεὸν, βαπτισθέντες τὸ βάπτισμα ἰωάννου.
Οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ θεοῦ ἠθέτη-
σαν εἰς ἑαυτοὺς, μὴ βαπτισθέντες ὑπ᾽ αὐτοῦ. Εἶπε δὲ ὁ κύρι-
ος. Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης,
καὶ τίνι εἰσὶν ὅμοιοι; ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ κα-
θημένοις, καὶ προσφωνοῦσιν ἀλλήλοις. καὶ λέγουσιν. ηὐλή-

σαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν καὶ οὐκ ἐκλαύσατε. Ἐλήλυθε γὰρ Ἰωάννης ὁ βαπτιστής, μήτε ἄρτον ἐσθίων, μήτε οἶνον πίνων, καὶ λέγετε, δαιμόνιον ἔχει. Ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγετε. Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν, καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων. Ἠρώτα δέ τις αὐτὸν τῶν φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ φαρισαίου ἀνεκλίθη. Καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, ἐπιγνοῦσα, ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ. Ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ, λέγων, οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἄν, τίς καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν. Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ φησι, διδάσκαλε, εἰπέ. Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινί, ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα, μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν εἰπὲ πλεῖον αὐτὸν ἀγαπήσει; Ἀποκριθεὶς δὲ ὁ σίμων εἶπεν, ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ, ὀρθῶς ἔκρινας, καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ σίμωνι ἔφη. βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας, αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. φίλημά μοι οὐκ ἔδωκας, αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον, οὐ διέλειπε καταφιλοῦσά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας, αὕτη δὲ μύρῳ ἤλειψέ



μου τοὺς πόδας. οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. εἶπε δὲ αὐτῇ. ἀφέωνταί σου αἱ ἁμαρτίαι. καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς, τίς οὗτός ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν; εἶπε δὲ πρὸς τὴν γυναῖκα. ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

Κεφάλ. η. VIII

Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ θεοῦ καὶ οἱ δώδεκα σὺν αὐτῷ. Καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ καλουμένη μαγδαληνή, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει, καὶ Ἰωάννα γυνὴ χουζᾶ, ἐπιτρόπου ἡρῴδου, καὶ σουσάννα, καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς. Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτόν, εἶπε διὰ παραβολῆς. Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ, καὶ ἐν τῷ σπείρειν αὐτόν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν καὶ φυὲν ἐξηράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα. καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθήν, καὶ φυέν, ἐποίησε καρπὸν ἑκατονταπλασίονα, ταῦτα λέγων ἐφώνει, ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. τίς εἴη ἡ παραβολὴ αὕτη. ὁ δὲ εἶπεν. ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ. τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν. ἔστι δὲ αὕτη ἡ παραβολή. ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ. οἱ δὲ παρὰ τὴν ὁδὸν εἰσίν, οἱ ἀκούοντες. εἶτα ἔρχεται ὁ διάβολος, καὶ

αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσι μετὰ χαρᾶς δέχονται τὸν λόγον, καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου, καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι. τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν, οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ. Οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς. οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται. οὐδὲ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ. Βλέπετε οὖν πῶς ἀκούετε. ὃς γὰρ ἐὰν ἔχῃ δοθήσεται αὐτῷ. καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ. παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον, καὶ ἀπηγγέλη αὐτῷ λεγόντων.

Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες, ὁ δὲ ἀποκριθεὶς εἶπε πρὸς αὐτούς. μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες αὐτόν. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον, καὶ οἱ μαθηταὶ αὐτοῦ. καὶ εἶπε πρὸς αὐτούς. Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης, καὶ ἀνήχθησαν. Πλεόντων δὲ αὐτῶν ἀφύπνωσε, καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην, καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον. Προσελθόντες δὲ διήγειραν αὐτόν, λέγοντες. Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα.

Ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη. εἶπε δὲ αὐτοῖς. Ποῦ ἐστιν ἡ πίστις ὑμῶν; Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς





ἀλλήλους. Τίς ἄρα οὗτός ἐστιν; Ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; Καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν γαδαρηνῶν, ἥτις ἐστὶν ἀντίπερα τῆς γαλιλαίας. ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο. καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ' ἐν τοῖς μνήμασιν. Ἰδὼν δὲ τὸν Ἰησοῦν καὶ ἀνακράξας προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε. τί ἐμοὶ καί σοι Ἰησοῦ υἱὲ τοῦ θεοῦ ὑψίστου; δέομαί σου μή με βασανίσῃς, παρήγγελλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου. Πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν, καὶ ἐδεσμεῖτο ἀλύσεσι, καὶ πέδαις φυλασσόμενος, καὶ διαρρήσσων τὰ δεσμά, ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους. ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων. Τί σοι ἐστὶν ὄνομα; Ὁ δὲ εἶπε, λεγεών, ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν. καὶ παρεκάλει αὐτόν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει. καὶ παρεκάλουν αὐτόν, ἵνα ἐπιτρέψῃ αὐτοῖς, εἰς ἐκείνους εἰσελθεῖν, καὶ ἐπέτρεψεν αὐτοῖς. ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθεν εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην, καὶ ἀπεπνίγη. Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον, ἔφυγον, καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν, καὶ εἰς τοὺς ἀγρούς. Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός, καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα, παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐφοβήθησαν. ἀπήγγειλαν δὲ αὐτοῖς, καὶ οἱ ἰδόντες πῶς ἐσώθη ὁ δαιμονισθείς, καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν γαδαρηνῶν, ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο. Αὐτὸς δὲ ἐμ-

βᾶς εἰς τὸ πλοῖον ὑπέστρεψεν. Ἐδέετο γὰρ αὐτοῦ ὁ ἀνὴρ ἀφ' οὗ
ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ. ἀπέλυσε δὲ αὐτὸν ὁ
Ἰησοῦς, λέγων· ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα
ἐποίησέ σοι ὁ θεός. Καὶ ἀπῆλθε καθ' ὅλην τὴν πόλιν κηρύσ-
σων, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς. Ἐγένετο δὲ ἐν τῷ ὑπο-
στρέψαι τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος, ἦσαν γὰρ πάν-
τες προσδοκῶντες αὐτόν. Καὶ ἰδοὺ ἦλθεν ἀνήρ, ᾧ ὄνομα
Ἰάειρος· καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχε, καὶ πε-
σὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν
εἰς τὸν οἶκον αὐτοῦ, ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐ-
τῶν δώδεκα, καὶ αὐτὴ ἀπέθνησκεν. ἐν δὲ τῷ ὑπάγειν αὐ-
τὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν. Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵ-
ματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις εἰς ἰατροὺς προσαναλώσα-
σα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι,
προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου
αὐτοῦ, καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. Καὶ εἶ-
πεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου; ἀρνουμένων δὲ πάντων,
εἶπεν ὁ Πέτρος καὶ οἱ μετ' αὐτοῦ. ἐπιστάτα, οἱ ὄχλοι συνέχου-
σί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις, τίς ὁ ἁψάμενός μου;
ὁ δὲ Ἰησοῦς εἶπεν· Ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελ-
θοῦσαν ἀπ' ἐμοῦ. Ἰδοῦσα δὲ ἡ γυνή, ὅτι οὐκ ἔλαθε, τρέμουσα
ἦλθε, καὶ προσπεσοῦσα αὐτῷ δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγγει-
λεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα.
Ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε,
πορεύου εἰς εἰρήνην. ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ
ἀρχισυναγώγου, λέγων αὐτῷ, ὅτι τέθνηκεν ἡ θυγάτηρ σου,
μὴ σκύλλε τὸν διδάσκαλον. Ὁ δὲ Ἰησοῦς ἀκούσας, ἀπεκρίθη
αὐτῷ, λέγων, μὴ φοβοῦ, μόνον πίστευε καὶ σωθήσεται. ἐλθὼν
δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον



καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν
μητέρα, ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. ὁ δὲ εἶπε,
μὴ κλαίετε, οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει, καὶ κατεγέλων αὐ-
τοῦ, εἰδότες, ὅτι ἀπέθανεν. αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας,
καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε λέγων· ἡ παῖς ἐ-
γείρου, καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆ-
μα. καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. καὶ ἐξέστησαν οἱ
γονεῖς αὐτῆς. ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γε-
γονός. Κεφάλ. θ. Συγκαλεσάμενος δὲ τοὺς δώδε- IX
κα, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαι-
μόνια, καὶ νόσους θεραπεύειν. ἀπέστειλεν αὐτοὺς κηρύσσειν
τὴν βασιλείαν τοῦ θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας, καὶ εἶπε
πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν μήτε ῥάβδον,
μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χι-
τῶνας ἔχειν. καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ
ἐκεῖθεν ἐξέρχεσθε, καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς, ἐξερχό-
μενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν πο-
δῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ' αὐτούς. Ἐρχόμε-
νοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θερα-
πεύοντες πανταχοῦ. Ἤκουσε δὲ Ἡρώδης ὁ τετράρχης τὰ γι-
νόμενα ὑπ' αὐτοῦ πάντα, καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό
τινων, ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν, ὑπό τινων δέ, ὅτι Ἠ-
λίας ἐφάνη, ἄλλων δέ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη;
καὶ εἶπεν Ἡρώδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα, τίς δέ ἐ-
στιν οὗτος, περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; καὶ ἐζήτει ἰδεῖν αὐ-
τόν. καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα
ἐποίησαν. καὶ παραλαβὼν αὐτούς, ὑπεχώρησε κατ' ἰδίαν
εἰς τόπον ἔρημον πόλεως, καλουμένης Βηθσαϊδά. οἱ δὲ ὄ-
χλοι γνόντες, ἠκολούθησαν αὐτῷ. καὶ δεξάμενος αὐτούς,

ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας, ἰᾶτο. ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν, προσελθόντες δὲ οἱ δώδεκα, εἶπον αὐτῷ· ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς ἀγροὺς καταλύσωσι καὶ εὕρωσιν ἐπισιτισμόν, ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν. εἶπε δὲ πρὸς αὐτούς· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. οἱ δὲ εἶπον· οὐκ εἰσὶν ἡμῖν πλεῖω ἢ πέντε ἄρτοι, καὶ δύο ἰχθύες· εἰ μή τι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα. ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι. εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα, καὶ ἐποίησαν οὕτως, καὶ κατέκλιναν ἅπαντας. λαβὼν δὲ τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανόν, εὐλόγησεν αὐτούς, καὶ κατέκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς παρατιθέναι τῷ ὄχλῳ. καὶ ἔφαγον, καὶ ἐχορτάσθησαν πάντες· καὶ ἤρθη τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων κόφινοι δώδεκα. Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί, καὶ ἐπηρώτησεν αὐτοὺς λέγων· τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι; οἱ δὲ ἀποκριθέντες εἶπον, Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι δὲ Ἡλίαν, ἄλλοι δέ, ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη. εἶπε δὲ αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ Πέτρος, εἶπε τὸν Χριστὸν τοῦ θεοῦ. ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε, μηδενὶ εἰπεῖν τοῦτο, εἰπών, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. ἔλεγε δὲ πρὸς πάντας· εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ᾽ ἡμέραν, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἐὰν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ᾽ ἂν ἀπολέσῃ



τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν. τί γὰρ ὠφελεῖται ἄνθρωπος, κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιωθείς; ὃς γὰρ ἂν ἐπαισχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, καὶ τοῦ πατρός, καὶ τῶν ἁγίων ἀγγέλων. λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ. Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτώ, καὶ παραλαβὼν τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτόν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἡλίας οἱ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ. διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοί, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἡλίᾳ, μὴ εἰδὼς ὃ λέγει. ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς. ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην. καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε. καὶ ἐν τῷ γενέσθαι τὴν φωνήν, εὑρέθη ὁ Ἰησοῦς μόνος. καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν. Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέγων· διδάσκαλε, δέομαί σου· ἐπίβλεψαι ἐπὶ τὸν υἱόν μου, ὅτι μονο-

γενής ἐστί μοι καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξαίφνης
κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχω-
ρεῖ ἀπ᾽ αὐτοῦ συντρῖβον αὐτόν. καὶ ἐδεήθην τῶν μαθητῶν σου,
ἵνα ἐκβάλλωσιν αὐτό, καὶ οὐκ ἠδυνήθησαν. ἀποκριθεὶς δὲ ὁ
Ἰησοῦς, εἶπεν, ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε
ἔσομαι πρὸς ὑμᾶς. καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε ὧδε τὸν υ-
ἱόν σου. ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν τὸ δαι-
μόνιον, καὶ συνεσπάραξεν. ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύ-
ματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα, καὶ ἀπέδωκεν
αὐτὸν τῷ πατρὶ αὐτοῦ. ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ με-
γαλειότητι τοῦ θεοῦ. πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐ-
ποίησεν. εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ. θέσθε ὑμεῖς εἰς τὰ
ὦτα ὑμῶν τοὺς λόγους τούτους, ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλ-
λει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. οἱ δὲ ἠγνόουν τὸ ῥῆ-
μα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν, ἵνα μὴ αἴσθων-
ται αὐτό. καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τού-
του. Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ, τίς ἂν εἴη μεί-
ζων αὐτῶν. ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας
αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ, καὶ
εἶπεν αὐτοῖς ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί
μου, ἐμὲ δέχεται. καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀπο-
στείλαντά με. ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗ-
τος ἔσται μέγας. ἀποκριθεὶς δὲ ὁ Ἰωάννης, εἶπεν. ἐπιστάτα, εἴ-
δομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα τὰ δαιμόνια,
καὶ ἐκωλύσαμεν αὐτὸν, ὅτι οὐκ ἀκολουθεῖ μεθ᾽ ὑμῶν. καὶ εἶπε
πρὸς αὐτὸν ὁ Ἰησοῦς. μὴ κωλύετε, ὃς γὰρ οὐκ ἔστι καθ᾽ ὑμῶν
ὑπὲρ ἡμῶν ἐστιν. ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας
τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ
πορεύεσθαι εἰς ἱερουσαλήμ. καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προ-



σώπου αὐτοῦ. καὶ πορευθέντες, εἰσῆλθον εἰς κώμην σαμαρ-
ειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ, καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι
τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς ἱερουσαλήμ. ἰδόντες δὲ
οἱ μαθηταὶ αὐτοῦ ἰάκωβος καὶ ἰωάννης, εἶπον. κύριε, θέλεις εἴ-
πωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ, καὶ ἀναλῶσαι αὐτοὺς,
ὡς καὶ ἡλίας ἐποίησε; στραφεὶς δὲ ὁ Ἰησοῦς, ἐπετίμησεν αὐ-
τοῖς, καὶ εἶπεν, οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς, ὁ γὰρ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλ-
λὰ σῶσαι. καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. ἐγένετο δὲ πο-
ρευομένων αὐτῶν ἐν τῇ ὁδῷ, εἶπέ τις πρὸς αὐτὸν ἀκολου-
θήσω σοι ὅπου ἂν ἀπέρχῃ, καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς. αἱ ἀλώπε-
κες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώ-
σεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.
εἶπε δὲ πρὸς ἕτερον, ἀκολούθει μοι, ὁ δὲ εἶπε κύριε, ἐπίστρεψόν
μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου, εἶπε δὲ αὐτῷ ὁ
Ἰησοῦς. ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκροὺς, σὺ δὲ
ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ. εἶπε δὲ καὶ ἕτερος,
ἀκολουθήσω σοι κύριε, πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι
τοῖς εἰς τὸν οἶκόν μου. εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς, οὐδεὶς ἐπι-
βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω
εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Κεφ. ι. Μετὰ δὲ X
ταῦτα ἀνέδειξεν ὁ κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστει-
λεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν, καὶ
τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι. ἔλεγεν οὖν πρὸς αὐτούς. ὁ μὲν
θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι, δεήθητε οὖν τοῦ κυρίου τοῦ
θερισμοῦ, ὅπως ἐκβάλλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. ὑπά-
γετε, ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς ἄρνας ἐν μέσῳ λύκων.
μὴ βαστάζετε βαλάντιον. μὴ πήραν, μηδὲ ὑποδήματα καὶ μη-
δένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. εἰς ἣν δ᾽ ἂν οἰκίαν εἰσέρ-

ἔρχησθε, πρῶτον λέγετε, εἰρήνη τῷ οἴκῳ τούτῳ, καὶ ἐὰν μὲν ᾖ ἐκεῖ
υἱὸσ εἰρήνησ, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν, εἰ δὲ μή γε,
ἐφ' ὑμᾶσ ἀνακάμψει. ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε ἐσθίοντεσ καὶ
πίνοντεσ τὰ παρ' αὐτῶν. ἄξιοσ γὰρ ὁ ἐργάτησ τοῦ μισθοῦ αὐτοῦ
ἐστι, μὴ μεταβαίνετε ἐξ οἰκίασ εἰσ οἰκίαν. καὶ εἰσ ἣν ἂν πόλιν
εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶσ, ἐσθίετε τὰ παρατιθέμενα
ὑμῖν καὶ θεραπεύετε τοὺσ ἐν αὐτῇ ἀσθενεῖσ, καὶ λέγετε αὐτοῖσ.
ἤγγικεν ἐφ' ὑμᾶσ ἡ βασιλεία τοῦ θεοῦ. εἰσ ἣν δ' ἂν πόλιν εἰσέρ-
χησθε, καὶ μὴ δέχωνται ὑμᾶσ, ἐξελθόντεσ εἰσ τὰσ πλατείασ
αὐτῆσ, εἴπατε. καὶ τὸν κονιορτὸν, τὸν κολληθέντα ἡμῖν ἐκ τῆσ
πόλεωσ ὑμῶν, ἀπομασσόμεθα ὑμῖν. πλὴν τοῦτο γινώσκετε,
ὅτι ἤγγικεν ἐφ' ὑμᾶσ ἡ βασιλεία τοῦ θεοῦ. λέγω ὑμῖν ὅτι σοδό-
μοισ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται, ἢ τῇ πόλει ἐκείνῃ.
οὐαί σοι χοραζὶν, οὐαί σοι βηθσαϊδά, ὅτι εἰ ἐν τύρῳ καὶ σι-
δῶνι ἐγένοντο αἱ δυνάμεισ, αἱ γενόμεναι ἐν ὑμῖν πάλαι ἂν
ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι, μετενόησαν, πλὴν τύρῳ καὶ
σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν, καὶ σὺ καπερνα-
οὺμ, ἡ ἕωσ τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕωσ ᾅδου καταβιβασθήσῃ.
ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. καὶ ὁ ἀθετῶν ὑμᾶσ, ἐμὲ ἀθετεῖ,
ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ
οἱ ἑβδομήκοντα μετὰ χαρᾶσ, λέγοντεσ. κύριε καὶ τὰ δαιμό-
νια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. εἶπε δὲ αὐτοῖσ,
ἐθεώρουν τὸν σατανᾶν ὡσ ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα.
ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων, καὶ
σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν
ὑμᾶσ οὐ μὴ ἀδικήσει. πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύ-
ματα ὑμῖν ὑποτάσσεται. χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγρά-
φη ἐν τοῖσ οὐρανοῖσ. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύμα-
τι ὁ Ἰησοῦσ, καὶ εἶπεν, ἐξομολογοῦμαί σοι πάτερ, κύριε τοῦ

οὐρανοῦ καὶ τῆσ γῆσ, ὅτι ἀπέκρυψασ ταῦτα ἀπὸ σοφῶν καὶ
συνετῶν, καὶ ἀπεκάλυψασ αὐτὰ νηπίοισ. ναὶ ὁ πατὴρ, ὅτι
οὕτωσ ἐγένετο εὐδοκία ἔμπροσθέν σου, πάντα παρεδόθη μοι
ὑπὸ τοῦ πατρόσ μου, καὶ οὐδεὶσ γινώσκει, τίσ ἐστιν ὁ υἱόσ, εἰ μὴ
ὁ πατήρ, καὶ τίσ ἐστιν ὁ πατήρ. εἰ μὴ ὁ υἱόσ, καὶ ᾧ ἐὰν βούλη-
ται ὁ υἱὸσ ἀποκαλύψαι. Καὶ στραφεὶσ πρὸσ τοὺσ μαθητὰσ,
κατ' ἰδίαν εἶπε. μακάριοι οἱ ὀφθαλμοὶ, οἱ βλέποντεσ, ἃ ὑ-
μεῖσ βλέπετε. λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βα-
σιλεῖσ ἠθέλησαν ἰδεῖν, ἃ ὑμεῖσ βλέπετε, καὶ οὐκ εἶδον, καὶ
ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. Καὶ ἰδοὺ νομικόσ τισ
ἀνέστη, ἐκπειράζων αὐτὸν, καὶ λέγων. διδάσκαλε, τί ποιή-
σασ ζωὴν αἰώνιον κληρονομήσω; ὁ δὲ εἶπε πρὸσ αὐτόν. ἐν τῷ
νόμῳ τί γέγραπται; πῶσ ἀναγινώσκεισ; ὁ δὲ ἀποκριθεὶσ εἶπεν.
ἀγαπήσεισ κύριον τὸν θεόν σου ἐξ ὅλησ τῆσ καρδίασ σου, καὶ
ἐξ ὅλησ τῆσ ψυχῆσ σου, καὶ ἐξ ὅλησ τῆσ ἰσχύοσ σου καὶ ἐξ ὅ-
λησ τῆσ διανοίασ σου, καὶ τὸν πλησίον σου ὡσ σεαυτόν. εἶπε
δὲ αὐτῷ. ὀρθῶσ ἀπεκρίθησ, τοῦτο ποίει καὶ ζήσῃ. ὁ δὲ θέλων δι-
καιοῦν ἑαυτὸν, εἶπε πρὸσ τὸν Ἰησοῦν. καὶ τίσ ἐστί μου πλησί-
ον; ὑπολαβὼν δὲ ὁ Ἰησοῦσ, εἶπεν. ἄνθρωπόσ τισ κατέβαινεν
ἀπὸ ἱερουσαλὴμ εἰσ ἱεριχὼ, καὶ λῃσταῖσ περιέπεσεν, οἳ καὶ ἐκ-
δύσαντεσ αὐτὸν, καὶ πληγὰσ ἐπιθέντεσ, ἀπῆλθον, ἀφέντεσ ἡμιθα-
νῆ τυγχάνοντα, κατὰ συγκυρίαν δὲ ἱερεύσ κατέβαινεν ἐν τῇ
ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν. ὁμοίωσ δὲ καὶ
λευίτησ, γενόμενοσ κατὰ τὸν τόπον ἐλθὼν, καὶ ἰδὼν, ἀντι-
παρῆλθε. σαμαρίτησ δέ τισ ὁδεύων ἦλθε κατ' αὐτὸν καὶ ἰδὼν
αὐτὸν, ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύμα-
τα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον, ἐπιβιβάσασ δὲ αὐτὸν ἐπὶ
τὸ ἴδιον κτῆνοσ, ἤγαγεν αὐτὸν εἰσ πανδοχεῖον, καὶ ἐπεμελή-
θη αὐτοῦ. καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια

Dnica 13 trinitatis

ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ, ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι. τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; ὁ δὲ εἶπεν· ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· πορεύου, καὶ σὺ ποίει ὁμοίως. Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτούς, καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά, γυνὴ δέ τις, ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. καὶ τῇδε ἦν ἀδελφή, καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ. ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν, ἐπιστᾶσα δὲ εἶπε· κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλειπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία. Μαρία τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαι-
XI ρεθήσεται ἀπ' αὐτῆς. Κεφάλ. ια. Καὶ ἐγένετο ἐν τῷ
εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἶπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ. εἶπε δὲ αὐτοῖς· Ὅταν προσεύχησθε, λέγετε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν. καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Καὶ εἶπε πρὸς αὐτούς· τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, καὶ εἴπῃ αὐτῷ· φίλε, χρῆσόν μοι τρεῖς ἄρτους, ἐπειδὴ φίλος μου παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω ὃ παραθή-

σω αὐτῷ· κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ· μή μοι κόπους πάρεχε, ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην εἰσίν, οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστάς, διὰ τὸ εἶναι αὐτοῦ φίλον, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθείς, δώσει αὐτῷ ὅσων χρήζει. κἀγὼ ὑμῖν λέγω· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Εἰ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ; ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον; Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες, οἴδατε ἀγαθὰ δόματα διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν. Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν. Ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφός, καὶ ἐθαύμασαν οἱ ὄχλοι. τινὲς δὲ ἐξ αὐτῶν εἶπον, ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ. αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα εἶπεν αὐτοῖς· πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται, καὶ οἶκος ἐπὶ οἶκον πίπτει, εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι λέγετε ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια. εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται. εἰ δὲ ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάττῃ τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ, ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει,

ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν. ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον, λέγει· ὑποστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν, εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον. τότε πορεύεται, καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ. καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ. μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. αὐτὸς δὲ εἶπε, μενοῦν γε, μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ φυλάσσοντες αὐτόν. Τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο λέγειν. ἡ γενεὰ αὕτη πονηρά ἐστι, σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ ταύτῃ. βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος, καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε. ἄνδρες Νινευῒ ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ. καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. Οὐδεὶς δὲ λύχνον ἅψας εἰς κρυπτὸν τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι, τὸ φῶς βλέπωσιν. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν. ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν ἐστι. σκόπει οὖν, μὴ τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστίν. Εἰ οὖν τὸ σῶμά σου



ὅλον φωτεινὸν, μὴ ἔχον τι μέρος σκοτεινὸν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. Ἐν δὲ τῷ λαλῆσαι, ἠρώτα αὐτὸν Φαρισαῖός τις ὅπως ἀριστήσῃ παρ' αὐτῷ. εἰσελθὼν δὲ ἀνέπεσεν. Ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου. Εἶπε δὲ ὁ κύριος πρὸς αὐτόν. Νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου, καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας. ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησε; Πλὴν τὰ ἐνόντα, δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν. ἀλλ' οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ πήγανον, καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν, καὶ τὴν ἀγάπην τοῦ θεοῦ. ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν. Ἀποκριθεὶς δέ τις τῶν νομικῶν, λέγει αὐτῷ. διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. ὁ δὲ εἶπε. καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς, ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα. διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν. ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ διώξουσιν, ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῆς γενεᾶς ταύτης, ἀπὸ τοῦ αἵματος

ἄβελ ἕως τοῦ αἵματος ζαχαρίου, τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου. ναὶ λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς, ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι δεινῶς ἐνέχειν, καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, ἐνεδρεύοντες αὐτόν, ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

XII Κεφάλ. ιβ. Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ, πρῶτον, προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις. οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμιείοις κηρυχθήσεται ἐπὶ τῶν δωμάτων. λέγω δὲ ὑμῖν τοῖς φίλοις μου, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι. ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε. φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν, ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε, οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων δύο. καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ; ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. μὴ οὖν φοβεῖσθε, πολλῶν στρουθίων διαφέρετε. λέγω δὲ ὑμῖν πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ, ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ, καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ. τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται, ὅταν δὲ



προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς ἢ τί ἀπολογηθήσησθε ἢ τί εἴπητε, τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν. εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου, διδάσκαλε εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ᾽ ἐμοῦ τὴν κληρονομίαν. ὁ δὲ εἶπεν αὐτῷ. ἄνθρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ᾽ ὑμᾶς; εἶπε δὲ πρὸς αὐτούς, ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ. Εἶπε δὲ παραβολὴν πρὸς αὐτούς, λέγων. Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα, καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων. τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; καὶ εἶπε, τοῦτο ποιήσω. καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. καὶ συνάξω ἐκεῖ πάντα τὰ γενήματά μου, καὶ τὰ ἀγαθά μου, καὶ ἐρῶ τῇ ψυχῇ μου. ψυχὴ ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά, ἀναπαύου, φάγε, πίε, εὐφραίνου. εἶπε δὲ αὐτῷ ὁ θεός. ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ, ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς θεὸν πλουτῶν. Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ. Διὰ τοῦτο ὑμῖν λέγω. μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι, τί ἐνδύσησθε. ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος. κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι ταμιεῖον, οὐδὲ ἀποθήκη, καὶ ὁ θεὸς τρέφει αὐτούς. πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν; Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε; Κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει, οὐ κοπιᾷ, οὐδὲ νήθει. Λέγω δὲ ὑμῖν. οὐδὲ σολομῶν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλλετο ὡς ἓν τούτων.

εἰ δὲ τὸν χόρτον ἐν τῷ ἀγρῷ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε, καὶ μὴ μετεωρίζεσθε. ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. ὑμῶν δὲ ὁ πατὴρ οἶδεν, ὅτι χρῄζετε τούτων. Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει. ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ. Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας. ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι, τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ. Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Εἶπε δὲ αὐτῷ ὁ Πέτρος. Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας; Εἶπε δὲ ὁ κύριος. Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν, ἐλθὼν ὁ κύριος αὐτοῦ,

εὑρήσει



εὑρήσει ποιοῦντα οὕτως, ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει μου ὁ κύριος ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητήσεται παρ' αὐτοῦ. καὶ ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσιν αὐτόν. Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ; δοκεῖτε, ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν. ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶν, καὶ δύο ἐπὶ τρισίν. διαμερισθήσεται πατὴρ ἐφ' υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ θυγατρί, καὶ θυγάτηρ ἐπὶ μητρί, πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς. Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις, ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε, ὄμβρος ἔρχεται, καὶ γίνεται οὕτως, καὶ ὅταν νότον πνέοντα, λέγετε, ὅτι καύσων ἔσται, καὶ γίνεται. ὑποκριταί, τὸ πρόσωπον τῆς γῆς καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε; τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ, δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ' αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτής σε παραδῷ τῷ πράκτορι, καὶ ὁ πράκτωρ σε βάλλῃ εἰς φυλακήν. λέγω σοι οὐ μὴ ἐξέλ-

l

θῇς, κἀκεῖθεν ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς.
XIII Κ. ιγ. Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλ-
λοντες αὐτῷ περὶ τῶν γαλιλαίων, ὧν τὸ αἷμα πιλᾶτος ἔμιξε με-
τὰ τῶν θυσιῶν αὐτῶν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς.
Δοκεῖτε; ὅτι οἱ γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς
γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; οὐχὶ λέγω ὑ-
μῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε πάντες ὡσαύτως ἀπολεῖσθε. ἢ ἐ-
κεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ σι-
λωὰμ, καὶ ἀπέκτεινεν αὐτούς. Δοκεῖτε, ὅτι οὗτοι ὀφειλέται ἐγέ-
νοντο παρὰ πάντας ἀνθρώπους τοὺς κατοικοῦντας ἐν ἱερουσα-
λήμ; οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε πάντες ὁμοίως
ἀπολεῖσθε. ἔλεγε δὲ ταύτην τὴν παραβολήν. συκῆν εἶχέ τις
ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην, καὶ ἦλθε καρπὸν ζητῶν ἐν
αὐτῇ καὶ οὐχ εὗρεν. εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν. ἰδοὺ τρία
ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρί-
σκω, ἔκκοψον αὐτὴν, ἵνα τί καὶ τὴν γῆν καταργεῖ; ὁ δὲ ἀποκρι-
θεὶς, λέγει αὐτῷ. Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος ἕως ὅτου
σκάψω περὶ αὐτὴν, καὶ βάλω κοπρίαν, κἂν μὲν ποιήσῃ καρ-
πὸν, εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν. Ἦν δὲ διδάσκων
ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι. καὶ ἰδοὺ, γυνὴ ἦν πνεῦ-
μα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτὼ, καὶ ἦν συγκύπτου-
σα καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές. ἰδὼν δὲ αὐτὴν
ὁ Ἰησοῦς προσεφώνησε καὶ εἶπεν αὐτῇ. γύναι ἀπολέλυσαι ἀ-
πὸ τῆς ἀσθενείας σου, καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας, καὶ παρα-
χρῆμα ἀνωρθώθη καὶ ἐδόξαζε τὸν θεόν. Ἀποκριθεὶς δὲ ὁ ἀρχι-
συνάγωγος ἀγανακτῶν, ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ
Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ. ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζε-
σθαι, ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ
τοῦ σαββάτου. ἀπεκρίθη οὖν αὐτῷ ὁ κύριος, καὶ εἶπεν. ὑποκρι-



ταὶ, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον
ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει; ταύτην δὲ θυγατέρα ἀ-
βραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη,
οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου;
Καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες οἱ ἀντικείμε-
νοι αὐτῷ. καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις
τοῖς γινομένοις ὑπ' αὐτοῦ. Ἔλεγε δέ. τίνι ὁμοία ἐστὶν ἡ βασι-
λεία τοῦ θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν; ὁμοία ἐστὶ κόκκῳ σινά-
πεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον αὐτοῦ, καὶ ηὔξη-
σε, καὶ ἐγένετο εἰς δένδρον μέγα. καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ. καὶ πάλιν εἶπε. τίνι ὁ-
μοιώσω τὴν βασιλείαν τοῦ θεοῦ; ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα
γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅ-
λον. καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας, διδάσκων
καὶ πορείαν ποιούμενος εἰς ἱερουσαλήμ. εἶπε δέ τις αὐτῷ.
Κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι; ὁ δὲ εἶπε πρὸς αὐτούς. ἀγωνί-
ζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πολλοὶ λέγω ὑμῖν, ζη-
τήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσι. ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκο-
δεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ
κρούειν τὴν θύραν, λέγοντες. Κύριε κύριε, ἄνοιξον ἡμῖν. καὶ
ἀποκριθεὶς ἐρεῖ ὑμῖν. οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. τότε ἄρξε-
σθε λέγειν. ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς
πλατείαις ἡμῶν ἐδίδαξας. καὶ ἐρεῖ, λέγω ὑμῖν, οὐκ οἶδα
ὑμᾶς πόθεν ἐστέ, ἀπόστητε ἀπ' ἐμοῦ πάντες ἐργάται τῆς ἀ-
δικίας. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅ-
ταν ὄψησθε ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ, καὶ πάντας τοὺς προ-
φήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω. καὶ
ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ νότου, καὶ ἀνα-
κλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. καὶ ἰδού εἰσιν ἔσχατοι

οἳ ἔσονται πρῶτοι, καὶ εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι. Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες Φαρισαῖοι, λέγοντες αὐτῷ, ἔξελθε καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρώδης θέλει σε ἀποκτεῖναι. καὶ εἶπεν αὐτοῖς. πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ. ἰδοὺ ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι. πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται, προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ. Ἱερουσαλὴμ Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω δὲ ὑμῖν, ὅτι οὐ μή με ἴδητε ἕως ἂν ἥξῃ ὅτε εἴπητε, εὐλογημέ-

XIIII νος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Κεφ. ιδ.

Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν, καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ, καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους, λέγων. εἰ ἔξεστιν ἐν τῷ σαββάτῳ θεραπεύειν; οἱ δὲ ἡσύχασαν, καὶ ἐπιλαβόμενος ἰάσατο αὐτόν, καὶ ἀπέλυσε. Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε, τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου; Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα. ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων, πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς, ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι, δὸς τούτῳ τόπον, καὶ τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν.



ἀλλ᾽ ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι, φίλε, προσανάβηθι ἀνώτερον, τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται. ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτόν, ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου. μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα, ἀλλ᾽ ὅταν ποιῇς δοχήν, κάλει πτωχούς, ἀναπήρους, χωλούς, τυφλούς. καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι. ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα, εἶπεν αὐτῷ. Μακάριος ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. Ὁ δὲ εἶπεν αὐτῷ. ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς. καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου, εἰπεῖν τοῖς κεκλημένοις, ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες, ὁ πρῶτος εἶπεν αὐτῷ. ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν, ἐρωτῶ σε, ἔχε με παρῃτημένον. καὶ ἕτερος εἶπε, ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά, ἐρωτῶ σε ἔχε με παρῃτημένον. καὶ ἕτερος εἶπε. γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. καὶ παραγενόμενος ὁ δοῦλος, ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης, εἶπε τῷ δούλῳ αὐτοῦ. ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε. καὶ εἶπεν ὁ δοῦλος. Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον. Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν. ἵνα γεμισθῇ ὁ οἶκός μου

Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύ-
σεταί μου τοῦ δείπνου. Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί, καὶ
στραφεὶς εἶπε πρὸς αὐτούς. εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ
τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέ-
κνα, καὶ τοὺς ἀδελφούς, καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ
ψυχήν, οὐ δύναταί μου μαθητὴς εἶναι, καὶ ὅστις οὐ βαστάζει
τὸν σταυρὸν αὐτοῦ καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθη-
τής. τίς γὰρ ἐξ ὑμῶν, θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶ-
τον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτι-
σμόν, ἵνα μή ποτε θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύοντος
ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν αὐτῷ,
λέγοντες, ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ
ἴσχυσεν ἐκτελέσαι; Ἢ τίς βασιλεὺς πορευόμενος συμβαλεῖν
ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρῶτον βουλεύεται,
εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκο-
σι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν; εἰ δὲ μήγε, ἔτι αὐτοῦ πόρρω
ὄντος, πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην. οὕτως
οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχου-
σιν, οὐ δύναταί μου εἶναι μαθητής. Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅ-
λας μωρανθῇ, τίνι ἀρτυθήσεται; οὔτε εἰς γῆν, οὔτε εἰς κοπρί-
αν εὔθετόν ἐστιν, ἔξω βάλλουσιν αὐτό. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέ-
XV τω. Κεφ. ιε. Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶ-
ναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ. καὶ διεγόγγυζον οἱ φαρισαῖ-
οι καὶ οἱ γραμματεῖς, λέγοντες, ὅτι οὗτος ἁμαρτωλοὺς προσ-
δέχεται, καὶ συνεσθίει αὐτοῖς. εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβο-
λὴν ταύτην, λέγων. τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρό-
βατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐνενήκον-
ταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως εὕ-
ρῃ αὐτό; καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ χαίρων,



καὶ ἐλθὼν εἰς τὸν οἶκον συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτο-
νας, λέγων αὐτοῖς. συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου
τὸ ἀπολωλός. Λέγω ὑμῖν, ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ οὐρα-
νῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐνενηκονταεννέα δι-
καίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας. Ἢ τίς γυνὴ δρα-
χμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει
λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου
εὕρῃ, καὶ εὑροῦσα συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτο-
νας, λέγουσα, συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμήν, ἣν
ἀπώλεσα. οὕτως λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγ-
γέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. εἶπε δέ. Ἄν-
θρωπός τις εἶχε δύο υἱούς, καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ
πατρί. πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καὶ δι-
εῖλεν αὐτοῖς τὸν βίον καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν
ἅπαντα, ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακράν,
καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως. δαπα-
νήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώ-
ραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. καὶ πορευθεὶς ἐκολλή-
θη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης. καὶ ἔπεμψεν αὐτὸν εἰς
τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν
κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι. καὶ οὐ-
δεὶς ἐδίδου αὐτῷ. εἰς ἑαυτὸν δὲ ἐλθών, εἶπε. πόσοι μίσθιοι
τοῦ πατρός μου περισσεύουσιν ἄρτον, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι.
ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ.
πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι
εἰμὶ ἄξιος κληθῆναι υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων
σου καὶ ἀναστὰς, ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. ἔτι δὲ αὐτοῦ μα-
κρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. καὶ ἐσπλαγχνίσθη,
καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν

αὐτόν. εἶπε δὲ αὐτῷ ὁ υἱός. πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐ
νώπιόν σου. καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. εἶπε δὲ ὁ πα
τὴρ πρὸς τοὺς δούλους αὐτοῦ. ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην,
καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ,
καὶ ὑποδήματα εἰς τοὺς πόδας, καὶ ἐνέγκαντες τὸν μόσχον
τὸν σιτευτὸν θύσατε καὶ φαγόντες εὐφρανθῶμεν, ὅτι οὗτος ὁ υἱ
ός μου νεκρὸς ἦν, καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη,
καὶ ἤρξαντο εὐφραίνεσθαι. ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν
ἀγρῷ. καὶ ὡς ἐρχόμενος ἤγγιζε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας
καὶ χορῶν, καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων αὐτοῦ, ἐπυν
θάνετο τί εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου ἥκει,
καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαί
νοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. ὁ
οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. ὁ δὲ ἀποκριθεὶς,
εἶπε τῷ πατρί. ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέπο
τε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔρι
φον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ, ὅτε δὲ ὁ υἱός σου οὗ
τος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας
αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. ὁ δὲ εἶπεν αὐτῷ. τέκνον, σὺ
πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν. εὐφρανθῆ
ναι δὲ, καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν
XVI καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Κεφ. ις. Ἔλε
γε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ, ἄνθρωπός τις ἦν πλού
σιος, ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ, ὡς δια
σκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ, καὶ φωνήσας αὐτὸν, εἶπεν
αὐτῷ. τί τοῦτο ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς οἰκονομί
ας σου. οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν. εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰ
κονόμος, τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονο
μίαν ἀπ' ἐμοῦ, σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι,



ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ τῆς οἰκονομίας δέξωνταί
με εἰς τοὺς οἴκους αὐτῶν. καὶ προσκαλεσάμενος ἕνα ἕκα
στον τῶν χρεωφειλετῶν τοῦ κυρίου αὐτοῦ, ἔλεγε τῷ πρώτῳ. πό
σον ὀφείλεις τῷ κυρίῳ μου; ὁ δὲ εἶπεν. ἑκατὸν βάτους ἐλαί
ου. καὶ εἶπεν αὐτῷ. δέξαι σου τὸ γράμμα. καὶ καθίσας τα
χέως γράψον πεντήκοντα. ἔπειτα ἑτέρῳ εἶπε. σὺ δὲ πόσον ὀ
φείλεις; ὁ δὲ εἶπεν. ἑκατὸν κόρους σίτου. καὶ λέγει αὐτῷ. δέ
ξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα. καὶ ἐπῄνεσεν ὁ
κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν. ὅ
τι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς
εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσί. κἀγὼ ὑμῖν λέγω. ποιήσατε
ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπητε,
δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. Ὁ πιστὸς ἐν ἐλαχί
στῳ, καὶ ἐν πολλῷ πιστός ἐστι καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν
πολλῷ ἄδικός ἐστιν. εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ
ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει; καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ
πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; οὐδεὶς οἰκέ
της δύναται δυσὶ κυρίοις δουλεύειν, ἢ γὰρ τὸν ἕνα μισήσει,
καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου κατα
φρονήσει. Οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. ἤκουον
δὲ ταῦτα πάντα καὶ οἱ φαρισαῖοι φιλάργυροι ὑπάρχοντες, καὶ
ἐξεμυκτήριζον αὐτόν. καὶ εἶπεν αὐτοῖς. ὑμεῖς ἐστε οἱ δικαιοῦν
τες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ θεὸς γινώσκει τὰς καρ
δίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον
τοῦ θεοῦ ἐστιν. ὁ νόμος καὶ οἱ προφῆται ἕως ἰωάννου, ἀπὸ τότε
ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.
εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ νόμου
μίαν κεραίαν πεσεῖν, πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ, καὶ
γαμῶν ἑτέραν, μοιχεύει. καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀν

-δρὸς γαμῶν, μοιχεύει. Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ
ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ᾽ ἡμέ-
ραν λαμπρῶς. πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐ-
βέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος καὶ ἐπιθυμῶν χορτα-
σθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλου-
σίου. ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ.
Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ
τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ. Ἀπέθανε δὲ καὶ ὁ πλού-
σιος, καὶ ἐτάφη, καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς
αὐτοῦ, ὑπάρχων ἐν βασάνοις ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν,
καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ, καὶ αὐτὸς φωνήσας, εἶπε.
Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ
τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσ-
σάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ.
Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου,
καὶ Λάζαρος ὁμοίως τὰ κακά. νῦν δὲ ὅδε παρακαλεῖται, σὺ
δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χά-
σμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν
πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ὑμᾶς διαπε-
ρῶσιν. Εἶπε δὲ· Ἐρωτῶ οὖν σε πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν
οἶκον τοῦ πατρός μου. ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύ-
ρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βα-
σάνου. Λέγει αὐτῷ Ἀβραάμ. Ἔχουσι Μωσέα καὶ τοὺς προφή-
τας, ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν· Οὐχὶ πάτερ Ἀβραάμ,
ἀλλ᾽ ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν.
Εἶπε δὲ αὐτῷ. Εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν
XVII τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται. Κεφ. ιζ. Εἶπε δὲ πρὸς τοὺς
μαθητάς. Ἀνένδεκτόν ἐστι, μὴ ἐλθεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ
δι᾽ οὗ ἔρχεται. λυσιτελεῖ αὐτῷ, εἰ μύλος ὀνικὸς περίκειται περὶ



τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλί-
σῃ ἕνα τῶν μικρῶν τούτων. προσέχετε ἑαυτοῖς. ἐὰν δὲ ἁμάρτῃ
εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ, καὶ ἐὰν μετανοήσῃ
ἄφες αὐτῷ. Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σέ, καὶ ἑ-
πτάκις τῆς ἡμέρας ἐπιστρέψῃ ἐπί σε, λέγων, μετανοῶ, ἀφήσεις
αὐτῷ. καὶ εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ. Πρόσθες ἡμῖν πίστιν.
Εἶπε δὲ ὁ κύριος, εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως ἐλέγετε
ἂν τῇ συκαμίνῳ ταύτῃ, ἐκριζώθητι καὶ φυτεύθητι ἐν τῇ θαλάσ-
σῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀρο-
τριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ, εὐθέως
παρελθὼν ἀνάπεσαι, ἀλλ᾽ οὐχὶ ἐρεῖ αὐτῷ, ἑτοίμασον, τί δει-
πνήσω, καὶ περιζωσάμενος διακόνει μοι ἕως φάγω καὶ πίω,
καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ; μὴ χάριν ἔχει τῷ
δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ διαταχθέντα αὐτῷ; οὐ δο-
κῶ. οὕτως καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα
ὑμῖν, λέγετε, ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν, ὅτι ὃ ὠφείλομεν ποι-
ῆσαι, πεποιήκαμεν. καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς
Ἱερουσαλήμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γα-
λιλαίας, καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ἀπήντησαν
αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν. καὶ αὐτοὶ
ἦραν φωνήν, λέγοντες. Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. καὶ ἰδὼν
εἶπεν αὐτοῖς, πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ
ἐγένετο, ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. εἷς δὲ ἐξ
αὐτῶν ἰδών, ὅτι ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς μεγάλης δο-
ξάζων τὸν θεόν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας
αὐτοῦ, εὐχαριστῶν αὐτῷ. καὶ αὐτὸς ἦν Σαμαρείτης. ἀποκριθεὶς
δὲ ὁ Ἰησοῦς, εἶπεν. οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα
ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ
θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος. καὶ εἶπεν αὐτῷ. ἀναστὰς πορεύου,

ἡ πίστις σου σέσωκέ σε. Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων, πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ, ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν, οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως, οὐδὲ ἐροῦσιν, ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ. ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν. εἶπε δὲ πρὸς τοὺς μαθητάς, ἐλεύσονται ἡμέραι, ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε. καὶ ἐροῦσιν ὑμῖν, ἰδοὺ ὧδε, ἰδοὺ ἐκεῖ. μὴ ἀπέλθητε μηδὲ διώξητε. ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα ἐκ τῆς ὑπ' οὐρανὸν εἰς τὴν ὑπ' οὐρανὸν λάμπει, οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ. πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο, ἄχρις ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν, καὶ ἦλθεν ὁ κατακλυσμός, καὶ ἀπώλεσεν ἅπαντας. ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ. ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν, ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ, καὶ ἀπώλεσεν ἅπαντας, κατὰ ταῦτα ἔσται, ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά. καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. μνημονεύετε τῆς γυναικὸς Λώτ. ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. καὶ ὃς ἐὰν ἀπολέσῃ αὐτήν, ζωογονήσει αὐτήν. λέγω ὑμῖν, ἐν ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς, ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται. δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό, ἡ μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται. καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, ποῦ κύριε, ὁ δὲ εἶπεν αὐτοῖς. ὅπου τὸ σῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί.



XVIII

Κεφάλ. ιη. Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν, λέγων. Κριτής τις ἦν ἔν τινι πόλει, τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. χήρα δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτόν, λέγουσα. ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον. μετὰ δὲ ταῦτα εἶπεν ἐν αὑτῷ. εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με. εἶπε δὲ ὁ κύριος. ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. ὁ δὲ θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς; λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; Εἶπε δὲ καὶ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιπούς, τὴν παραβολὴν ταύτην. Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. ὁ φαρισαῖος σταθεὶς, πρὸς ἑαυτὸν ταῦτα προσηύχετο, ὁ θεός, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. καὶ ὁ τελώνης μακρόθεν ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων. ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται. ἰδόντες δὲ οἱ μαθηταί, ἐπετίμησαν αὐτοῖς. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ εἶπε. ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά. τῶν γὰρ τοιούτων ἐστὶν

ἡ βασιλεία τοῦ θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν
βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. καὶ
ἐπηρώτησέ τις ἄρχων αὐτὸν, λέγων· Διδάσκαλε ἀγαθὲ, τί
ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς·
τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεός. τὰς
ἐντολὰς οἶδας, μὴ μοιχεύσεις, μὴ φονεύσεις, μὴ κλέψεις,
μὴ ψευδομαρτυρήσεις, τίμα τὸν πατέρα σου καὶ τὴν μητέ-
ρα σου. ὁ δὲ εἶπε· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός
μου. ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· ἔτι ἕν σοι λεί-
πει. πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτωχοῖς, καὶ
ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. ὁ δὲ ἀ-
κούσας ταῦτα, περίλυπος ἐγένετο, ἦν γὰρ πλούσιος σφό-
δρα. ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε· πῶς
δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βα-
σιλείαν τοῦ θεοῦ. εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλι-
ᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ
εἰσελθεῖν. εἶπον δὲ οἱ ἀκούσαντες· καὶ τίς δύναται σωθῆναι;
ὁ δὲ εἶπε· τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ
θεῷ. Εἶπε δὲ ὁ Πέτρος· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκο-
λουθήσαμέν σοι. ὁ δὲ εἶπεν αὐτοῖς, ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς
ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέ-
κνα ἕνεκεν τῆς βασιλείας τοῦ θεοῦ, ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλα-
σίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν
αἰώνιον. παραλαβὼν δὲ τοὺς δώδεκα εἶπε πρὸς αὐτούς, ἰδοὺ ἀ-
ναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται πάντα τὰ γεγραμ-
μένα διὰ τῶν προφητῶν, τῷ υἱῷ τοῦ ἀνθρώπου. παραδοθήσεται γὰρ
τοῖς ἔθνεσι, καὶ ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ ἐμπτυσθήσεται,
καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀ-
ναστήσεται. καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν. καὶ ἦν τὸ ῥῆμα τοῦτο



κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα. Ἐγένετο
δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ, τυφλός τις ἐκάθητο παρὰ τὴν
ὁδὸν, προσαιτῶν, ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυν-
θάνετο τί εἴη τοῦτο. ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι Ἰησοῦς ὁ Ναζω-
ραῖος παρέρχεται. καὶ ἐβόησε, λέγων· Ἰησοῦ υἱὲ Δαβὶδ, ἐλέη-
σόν με. καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ, ἵνα σιωπήσῃ. αὐ-
τὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν, υἱὲ Δαβὶδ, ἐλέησόν με. σταθεὶς
δὲ ὁ Ἰησοῦς, ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. ἐγγίσαντος
δὲ αὐτοῦ ἐπηρώτησεν αὐτὸν, λέγων· τί σοι θέλεις ποιήσω;
ὁ δὲ εἶπε, κύριε, ἵνα ἀναβλέψω. καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, ἀνά-
βλεψον. ἡ πίστις σου σέσωκέ σε, καὶ παραχρῆμα ἀνέβλεψε,
καὶ ἠκολούθει αὐτῷ, δοξάζων τὸν θεὸν, καὶ πᾶς ὁ λαὸς ἰδὼν,
ἔδωκεν αἶνον τῷ θεῷ. Κεφάλ. ιθ. Καὶ εἰσελθὼν διήρ- XIX
χετο τὴν Ἱεριχώ. καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος
καὶ αὐτὸς ἦν ἀρχιτελώνης, οὗτος ἦν πλούσιος, καὶ ἐζήτει ἰδεῖν
τὸν Ἰησοῦν τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ
μικρὸς ἦν, καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομωραί-
αν, ἵνα ἴδῃ αὐτὸν, ὅτι δι' ἐκείνης ἤμελλε διέρχεσθαι, καὶ ὡς
ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς, εἶδεν αὐτὸν καὶ εἶ-
πε πρὸς αὐτόν. Ζακχαῖε, σπεύσας κατάβηθι, σήμερον γὰρ ἐν
τῷ οἴκῳ σου δεῖ με μεῖναι. καὶ σπεύσας κατέβη, καὶ ὑπεδέ-
ξατο αὐτὸν χαίρων. καὶ ἰδόντες ἅπαντες διεγόγγυζον λέγον-
τες, ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. σταθεὶς
δὲ Ζακχαῖος εἶπε πρὸς τὸν κύριον, ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόν-
των μου κύριε δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάν-
τησα, ἀποδίδωμι τετραπλοῦν. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, ὅτι
σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθ' ὅτι καὶ αὐτὸς υἱὸς
Ἀβραάμ ἐστιν. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀ-
πολωλός. ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε παραβολὴν,

διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἱερουσαλήμ, καὶ δοκεῖν αὐτοὺς, ὅτι παρα-
χρῆμα μέλλει ἡ βασιλεία τοῦ θεοῦ ἀναφαίνεσθαι. εἶπεν οὖν, ἄνθρω-
πός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βα-
σιλείαν, καὶ ὑποστρέψαι. καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔ-
δωκεν αὐτοῖς δέκα μνᾶς, καὶ εἶπε πρὸς αὐτούς, πραγματεύ-
σασθε ἕως ἔρχομαι. οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτόν, καὶ ἀπέστειλαν
πρεσβείαν ὀπίσω αὐτοῦ, λέγοντες. οὐ θέλομεν τοῦτον βασιλεῦ-
σαι ἐφ' ἡμᾶς. καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν
βασιλείαν, καὶ εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους, οἷς ἔ-
δωκε τὸ ἀργύριον, ἵνα γνῷ, τίς τί διεπραγματεύσατο. παρε-
γένετο δὲ ὁ πρῶτος, λέγων, κύριε. ἡ μνᾶ σου προσειργάσατο δέκα
μνᾶς. καὶ εἶπεν αὐτῷ, εὖ ἀγαθὲ δοῦλε, ὅτι ἐν ἐλαχίστῳ πιστὸς
ἐγένου ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων. καὶ ἦλθεν ὁ δεύ-
τερος, λέγων, κύριε, ἡ μνᾶ σου ἐποίησε πέντε μνᾶς. εἶπε δὲ
καὶ τούτῳ, καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων. καὶ ἕτερος ἦλθε, λέ-
γων. κύριε ἰδοὺ ἡ μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ,
ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ, αἴρεις ὃ οὐκ ἔθη-
κας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. λέγει δὲ αὐτῷ, ἐκ τοῦ στόματός σου
κρινῶ σε πονηρὲ δοῦλε, ᾔδεις, ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰ-
μι, αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα, καὶ διατί οὐκ
ἔδωκας τὸ ἀργύριόν μου ἐπὶ τὴν τράπεζαν, καὶ ἐγὼ ἐλθὼν σὺν τόκῳ
ἂν ἔπραξα αὐτό; καὶ τοῖς παρεστῶσιν εἶπεν, ἄρατε ἀπ' αὐτοῦ τὴν
μνᾶν, καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι. καὶ εἶπον αὐτῷ, κύρι-
ε, ἔχει δέκα μνᾶς. λέγω γὰρ ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθή-
σεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. πλὴν
τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με βασιλεῦ-
σαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου.
καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς Ἱεροσόλυ-
μα. καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθφαγὴ καὶ Βηθανίαν πρὸς τὸ
ὄρος τὸ

ὄρος τὸ καλούμενον ἐλαιῶν, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ,
εἰπών, ὑπάγετε εἰς τὴν κατέναντι κώμην, ἐν ᾗ εἰσπορευόμενοι
εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώπων
ἐκάθισε, λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ,
διατί λύετε; οὕτως ἐρεῖτε αὐτῷ, ὅτι ὁ κύριος αὐτοῦ χρείαν
ἔχει. ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι, εὗρον καθὼς εἶπεν αὐτοῖς.
λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς,
τί λύετε τὸν πῶλον; οἱ δὲ εἶπον ὁ κύριος αὐτοῦ χρείαν ἔχει. καὶ
ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν. καὶ ἐπιρρίψαντες ἑαυτῶν τὰ ἱ-
μάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν. Πορευομένου δὲ αὐ-
τοῦ ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ. ἐγγίζοντος δὲ αὐ-
τοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο ἅπαν
τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν θεὸν φωνῇ μεγά-
λῃ περὶ πασῶν, ὧν εἶδον δυνάμεων, λέγοντες. εὐλογημένος
ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι κυρίου, εἰρήνη ἐν οὐρανῷ,
καὶ δόξα ἐν ὑψίστοις. Καί τινες τῶν φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶ-
πον πρὸς αὐτόν. διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.
καὶ ἀποκριθεὶς, εἶπεν αὐτοῖς. λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι σιω-
πήσωσιν, οἱ λίθοι κεκράξονται. καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν,
ἔκλαυσεν ἐπ' αὐτῇ, λέγων. ὅτι εἰ ἔγνως καὶ σύ, καί γε ἐν τῇ
ἡμέρᾳ σου ταύτῃ, τὰ πρὸς εἰρήνην σου, νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλ-
μῶν σου. ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σέ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί
σου χάρακά σοι, καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάν-
τοθεν, καὶ ἐδαφιοῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοί. καὶ οὐκ ἀ-
φήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ. ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς
ἐπισκοπῆς σου. καὶ εἰσελθὼν εἰς τὸ ἱερόν, ἤρξατο ἐκβάλλειν
τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας, λέγων αὐτοῖς. γέ-
γραπται, ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ αὐτὸν ἐ-
ποιήσατε σπήλαιον λῃστῶν. καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν

τῷ ἱερῷ. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ, καὶ οὐχ εὕρισκον, τὸ, τί ποιήσωσιν. Ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο, αὐτοῦ ἀκούων.

XX Κεφ. κ. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων, διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἀρχιερεῖς καὶ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις, καὶ εἶπον πρὸς αὐτὸν, λέγοντες· εἰπὲ ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Ἢ, τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτούς· Ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ εἴπατέ μοι· τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς λέγοντες· ὅτι ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ, διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων, πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς· πεπεισμένος γάρ ἐστιν Ἰωάννην προφήτην εἶναι. Καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε χρόνους ἱκανούς, καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δῶσιν αὐτῷ. Οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν, ἐξαπέστειλαν κενόν. Καὶ προσέθετο πέμψαι ἕτερον δοῦλον· οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες, ἐξαπέστειλαν κενόν. Καὶ προσέθετο πέμψαι τρίτον· οἱ δὲ καὶ τοῦτον τραυματίσαντες, ἐξέβαλον. Εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος τί ποιήσω; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες ἐντραπήσονται. Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, διελογίζοντο πρὸς ἑαυτοὺς, λέγοντες, οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία. Καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Τί



οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. Ἀκούσαντες δὲ, εἶπον, μὴ γένοιτο. Ὁ δὲ ἐμβλέψας αὐτοῖς, εἶπε, τί οὖν ἐστι τὸ γεγραμμένον τοῦτο· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, συνθλασθήσεται, ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπε. Καὶ παρατηρήσαντες, ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου, εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· διδάσκαλε, οἴδαμεν, ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις, ἔξεστιν ἡμῖν Καίσαρι φόρον δοῦναι, ἢ οὔ; Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτούς· τί με πειράζετε; ἐπιδείξατέ μοι δηνάριον, τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; ἀποκριθέντες εἶπον, Καίσαρος. Ὁ δὲ εἶπεν αὐτοῖς· ἀπόδοτε τοίνυν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ. Καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ λαοῦ, καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν. Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν αὐτὸν, λέγοντες· διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, ἔχων γυναῖκα, καὶ οὗτος ἄτεκνος ἀποθάνῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. Ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος λαβὼν γυναῖκα, ἀπέθανεν ἄτεκνος. Καὶ ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος. Καὶ ὁ τρίτος ἔλαβεν αὐτήν,

ὡσαύτως δὲ καὶ οἱ ἑπτά, καὶ οὐ κατέλιπον τέκνα, καὶ ἀπέθανον. ὕστε-
ρον πάντων ἀπέθανε καὶ ἡ γυνή. ἐν τῇ οὖν ἀναστάσει τίνος αὐτῶν
γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. Καὶ ἀποκριθεὶς
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγα-
μίσκονται, οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς
ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίσκονται,
οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται. ἰσάγγελοι γάρ εἰσι, καὶ υἱοί
εἰσι τοῦ θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες. ὅτι δὲ ἐγείρονται οἱ νεκροί,
καὶ Μωσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει κύριον τὸν θεὸν Ἀ-
βραὰμ καὶ τὸν θεὸν Ἰσαὰκ καὶ τὸν θεὸν Ἰακώβ. Θεὸς δὲ οὐκ ἔστι νε-
κρῶν, ἀλλὰ ζώντων. πάντες γὰρ αὐτῷ ζῶσιν. ἀποκριθέντες δέ
τινες τῶν γραμματέων, εἶπον, διδάσκαλε, καλῶς εἶπας. οὐκ-
ἔτι δὲ ἐτόλμων ἐπερωτᾷν αὐτὸν οὐδέν. εἶπε δὲ πρὸς αὐτούς,
πῶς λέγουσι, τὸν Χριστὸν υἱὸν Δαβὶδ εἶναι, καὶ αὐτὸς Δαβὶδ λέ-
γει ἐν βίβλῳ ψαλμῶν. εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου
ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν πο-
δῶν σου. Δαβὶδ οὖν κύριον αὐτὸν καλεῖ, καὶ πῶς υἱὸς αὐτοῦ ἐστι;
ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς αὐτοῦ. προσέχε-
τε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ
φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας
ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις. οἳ
κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσ-
εύχονται, οὗτοι λήψονται περισσότερον κρίμα. Κεφ. κα.

XXI Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ
γαζοφυλάκιον πλουσίους, εἶδε δέ τινα καὶ χήραν πενιχρὰν
βάλλουσαν ἐκεῖ δύο λεπτά. καὶ εἶπεν, ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ
χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν. ἅπαντες γὰρ οὗτοι
ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ, αὕτη δὲ
ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλε. Καί τι-



νων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι
κεκόσμηται, εἶπε. ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι ἐν αἷς
οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ καταλυθήσεται. ἐπηρώτη-
σαν δὲ αὐτὸν, λέγοντες. διδάσκαλε, πότε οὖν ταῦτα ἔσται; καὶ τί
τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα γίνεσθαι; ὁ δὲ εἶπε, βλέπετε μὴ
πλανηθῆτε. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγον-
τες, ὅτι ἐγώ εἰμι. καὶ ὁ καιρὸς ἤγγικε. μὴ οὖν πορευθῆτε ὀπί-
σω αὐτῶν. ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτο-
ηθῆτε. δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ' οὐκ εὐθέως τὸ τέλος.
Τότε ἔλεγεν αὐτοῖς, ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία
ἐπὶ βασιλείαν, σεισμοί τε μεγάλοι κατὰ τόπους, καὶ λιμοὶ καὶ
λοιμοὶ ἔσονται, φόβητρά τε, καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται.
Πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐ-
τῶν, καὶ διώξουσι παραδιδόντες εἰς συναγωγὰς καὶ φυλα-
κάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός
μου. ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρ-
δίας ὑμῶν μὴ προμελετᾷν ἀπολογηθῆναι, ἐγὼ γὰρ δώσω ὑ-
μῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆ-
ναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. παραδοθήσεσθε δὲ καὶ ὑπὸ
γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν
ἐξ ὑμῶν. καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.
καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. ἐν τῇ ὑπομο-
νῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. Ὅταν δὲ ἴδητε κυκλου-
μένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγι-
κεν ἡ ἐρήμωσις αὐτῆς. Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς
τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς, ἐκχωρείτωσαν. καὶ οἱ ἐν ταῖς χώ-
ραις, μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, ὅτι ἡμέραι ἐκδικήσεως
αὗταί εἰσι, τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα. οὐαὶ δὲ ταῖς ἐν
γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡ-

ἡμέραις. ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ
τούτῳ. καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθή-
σονται εἰς πάντα τὰ ἔθνη. καὶ ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ
ἐθνῶν ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν. Καὶ ἔσται σημεῖα ἐν ἡ-
λίῳ καὶ σελήνῃ καὶ ἄστροις καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν, ἐν ἀπο-
ρίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων
ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ. αἱ
γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. καὶ τότε ὄψονται τὸν
υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δό-
ξης πολλῆς. Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐ-
πάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑ-
μῶν, καὶ εἶπε παραβολὴν αὐτοῖς, ἴδετε τὴν συκῆν καὶ πάντα τὰ
δένδρα, ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ᾽ ἑαυτῶν γινώ-
σκετε, ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν. οὕτως καὶ ὑμεῖς, ὅταν ἴδη-
τε ταῦτα γινόμενα, γινώσκετε, ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ
θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως
ἂν πάντα γένηται. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι
μου οὐ μὴ παρέλθωσι. Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρυνθῶ-
σιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτι-
καῖς, καὶ αἰφνίδιος ἐφ᾽ ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη. ὡς παγὶς
γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πά-
σης τῆς γῆς. ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ, δεόμενοι, ἵνα κα-
ταξιωθῆτε ἐκφυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ στα-
θῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ
ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ
ὄρος τὸ καλούμενον ἐλαιῶν, καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐ-
XXII τὸν, ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ. Κεφ. κβ. Ἤγγιζε δὲ ἡ
ἑορτὴ τῶν ἀζύμων, λεγομένη πάσχα. καὶ ἐζήτουν οἱ ἀρχιε-
ρεῖς καὶ οἱ γραμματεῖς, τὸ, πῶς ἀνέλωσιν αὐτὸν, ἐφοβοῦντο



γὰρ τὸν λαόν. εἰσῆλθε δὲ σατανᾶς εἰς ἰούδαν τὸν ἐπικαλούμενον
ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, καὶ ἀπελθὼν συ-
νελάλησε τοῖς ἀρχιερεῦσι καὶ στρατηγοῖς, τὸ, πῶς αὐτὸν παρα-
δῷ αὐτοῖς. καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦ-
ναι. καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐ-
τὸν αὐτοῖς ἄτερ ὄχλου. Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύ-
εσθαι τὸ πάσχα, καὶ ἀπέστειλε πέτρον καὶ ἰωάννην, εἰπών. πορευ-
θέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν. οἱ δὲ εἶπον
αὐτῷ, ποῦ θέλεις ἑτοιμάσωμεν; ὁ δὲ εἶπεν αὐτοῖς. ἰδοὺ εἰσελ-
θόντων ὑμῶν εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κερά-
μιον ὕδατος βαστάζων, ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν
οὗ εἰσπορεύεται, καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας. λέγει
σοι ὁ διδάσκαλος, ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα
μετὰ τῶν μαθητῶν μου φάγω; κἀκεῖνο[illegible] δείξει ἀνώγεων
μέγα ἐστρωμένον, ἐκεῖ ἑτοιμάσατε. [illegible]όντες δὲ, εὗρον κα-
θὼς εἴρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. καὶ ὅτε ἐγέ-
νετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ. καὶ εἶ-
πε πρὸς αὐτούς. Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν
μεθ᾽ ὑμῶν πρὸ τοῦ με παθεῖν. Λέγω γὰρ ὑμῖν, ὅτι οὐκ ἔτι οὐ μὴ
φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. Καὶ
δεξάμενος ποτήριον, εὐχαριστήσας εἶπε. Λάβετε τοῦτο, καὶ
διαμερίσατε εἰς ἑαυτούς. Λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπὸ
τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ.
Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκεν αὐτοῖς,
λέγων. Τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον, τοῦτο
ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ
τὸ δειπνῆσαι, λέγων. Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν
τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. Πλὴν ἰδοὺ ἡ χεὶρ
τοῦ παραδιδόντος με μετ᾽ ἐμοῦ ἐπὶ τῆς τραπέζης. Καὶ ὁ μὲν υἱὸς τοῦ

ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ παραδίδοται. Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτούς, τὸ, τίς ἄρα εἴη ἐξ αὐτῶν, ὁ τοῦτο μέλλων πράσσειν. Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν αὐτοῖς, οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν, εὐεργέται καλοῦνται· ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; Ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου. καὶ καθίσησθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Εἶπε δὲ ὁ κύριος, Σίμων Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον. ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. ὁ δὲ εἶπεν αὐτῷ· κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. ὁ δὲ εἶπε, λέγω σοι Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με. Καὶ εἶπεν αὐτοῖς, ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον, οὐθενός. Εἶπεν οὖν αὐτοῖς· Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλησάτω ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. Λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον, δεῖ τελεσθῆναι ἐν ἐμοί, τὸ, καὶ μετὰ ἀνόμων ἐλογίσθη. καὶ γὰρ τὰ περὶ ἐμοῦ, τέλος ἔχει. Οἱ δὲ εἶπον, κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς, ἱκανόν ἐστι. Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν. Ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί. γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν



αὐτοῖς, προσεύχεσθε, μὴ εἰσελθεῖν εἰς πειρασμόν. Καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν· καὶ θεὶς τὰ γόνατα προσηύχετο, λέγων· Πάτερ, εἰ βούλει, παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω. ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν· καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύχετο. Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης, καὶ εἶπεν αὐτοῖς· Τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας εἷς τῶν δώδεκα προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον αὐτῷ· κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ; καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν, ἐᾶτε ἕως τούτου, καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν. Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων; καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ· ἀλλ' αὕτη ὑμῶν ἐστιν ἡ ὥρα, καὶ ἡ ἐξουσία τοῦ σκότους. Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν. ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ εἶπε· καὶ οὗτος σὺν αὐτῷ ἦν. ὁ δὲ ἠρνήσατο αὐτόν, λέγων, γύναι, οὐκ οἶδα αὐτόν, καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν

αὐτῶν, ἔφη. καὶ σὺ ἐξ αὐτῶν εἶ. Ὁ δὲ πέτρος εἶπεν, ἄνθρωπε,
οὐκ εἰμί. καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς ἄλλος τις διϊσχυρί-
ζετο, λέγων, ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν, καὶ γὰρ γα-
λιλαῖός ἐστιν. Εἶπε δὲ ὁ πέτρος. ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις.
καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ἀλέκτωρ. Καὶ
στραφεὶς ὁ κύριος ἐνέβλεψε τῷ πέτρῳ. καὶ ὑπεμνήσθη ὁ πέτρος
τοῦ λόγου τοῦ κυρίου, ὡς εἶπεν αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆ-
σαι, ἀπαρνήσῃ με τρίς. Καὶ ἐξελθὼν ἔξω ὁ πέτρος, ἔκλαυσε
πικρῶς. Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέπαιζον
αὐτῷ, δέροντες. καὶ περικαλύψαντες αὐτὸν, ἔτυπτον αὐτοῦ τὸ
πρόσωπον, καὶ ἐπηρώτων αὐτὸν λέγοντες. Προφήτευσον, τίς
ἐστιν ὁ παίσας σε; καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς
αὐτόν. καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ,
ἀρχιερεῖς καὶ γραμματεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδρι-
ον αὑτῶν, λέγοντες. Εἰ σὺ εἶ ὁ Χριστός; εἰπὲ ἡμῖν. εἶπε δὲ αὐ-
τοῖς, ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε. ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ
μὴ ἀποκριθῆτέ μοι ἢ ἀπολύσητε. ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀν-
θρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. εἶπον δὲ πάν-
τες, σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; ὁ δὲ πρὸς αὐτοὺς ἔφη. ὑμεῖς λέγε-
τε, ὅτι ἐγώ εἰμι. οἱ δὲ εἶπον. τί ἔτι χρείαν ἔχομεν μαρτυρίας;
XXIII αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ. Κεφ. κγ. Καὶ
ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγεν αὐτὸν ἐπὶ τὸν πιλᾶτον.
ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ, λέγοντες, τοῦτον εὕρομεν διαστρέ-
φοντα τὸ ἔθνος, καὶ κωλύοντα καίσαρι φόρους διδόναι, λέ-
γοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. Ὁ δὲ πιλᾶτος ἐπηρώτησεν
αὐτὸν, λέγων. Σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς αὐ-
τῷ ἔφη. Σὺ λέγεις. ὁ δὲ πιλᾶτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ
τοὺς ὄχλους, οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. οἱ
δὲ ἐπίσχυον, λέγοντες, ὅτι ἀνασείει τὸν λαὸν, διδάσκων



καθ' ὅλης τῆς ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς γαλιλαίας ἕως ὧδε.
πιλᾶτος δὲ ἀκούσας γαλιλαίαν, ἐπηρώτησεν, εἰ ὁ ἄνθρωπος
γαλιλαῖός ἐστι. καὶ ἐπιγνοὺς, ὅτι ἐκ τῆς ἐξουσίας ἡρώδου ἐστὶν,
ἀνέπεμψεν αὐτὸν πρὸς ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν ἱεροσολύμοις
ἐν ταύταις ταῖς ἡμέραις. ὁ δὲ ἡρώδης ἰδὼν τὸν Ἰησοῦν, ἐχά-
ρη λίαν. ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολ-
λὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον.
ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς. αὐτὸς δὲ οὐδὲν ἀπεκρί-
νατο αὐτῷ. εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐ-
τόνως κατηγοροῦντες αὐτοῦ. Ἐξουθενήσας δὲ αὐτὸν ὁ ἡρώδης
σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν
ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ πιλάτῳ. Ἐγένοντο δὲ φί-
λοι ὅ τε πιλᾶτος καὶ ὁ ἡρώδης ἐν αὐτῇ ἡμέρᾳ μετ' ἀλλήλων,
προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. Πιλᾶτος δὲ
συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν
λαὸν, εἶπε πρὸς αὐτούς. Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦ-
τον, ὡς ἀποστρέφοντα τὸν λαόν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνα-
κρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατη-
γορεῖτε κατ' αὐτοῦ. Ἀλλ' οὐδὲ ἡρώδης, ἀνέπεμψα γὰρ ὑμᾶς
πρὸς αὐτὸν, καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐ-
τῷ. παιδεύσας οὖν αὐτὸν ἀπολύσω. Ἀνάγκην δὲ εἶχεν ἀ-
πολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα. ἀνέκραξαν δὲ παμπληθεὶ, λέ-
γοντες, αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν Βαραββᾶν. ὅστις ἦν
διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον βεβλημένος εἰς
φυλακήν. Πάλιν οὖν ὁ πιλᾶτος προσεφώνησε, θέλων ἀπολῦ-
σαι τὸν Ἰησοῦν. οἱ δὲ ἐπεφώνουν, λέγοντες. Σταύρωσον, σταύρω-
σον αὐτόν. Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς. Τί γὰρ κακὸν ἐποίη-
σεν οὗτος; Οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ, παιδεύσας
οὖν αὐτὸν ἀπολύσω. Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι

αὐτὸν σταυρωθῆναι, καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέ-
ων. Ὁ δὲ Πιλάτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν. Ἀπέλυσε
δὲ τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακὴν, ὃν ᾐτοῦ-
ντο, τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν, καὶ ὡς
ἀπήγαγον αὐτὸν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου ἐρχο-
μένου ἀπ᾽ ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν τοῦ
Ἰησοῦ. Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ γυναικῶν,
αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. Στραφεὶς δὲ πρὸς αὐτὰς
ὁ Ἰησοῦς, εἶπε. Θυγατέρες Ἱερουσαλὴμ μὴ κλαίετε ἐπ᾽ ἐμέ,
πλὴν ἐφ᾽ αὑτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. ὅτι ἰδοὺ ἔρ-
χονται ἡμέραι ἐν αἷς ἐροῦσι. Μακάριαι αἱ στεῖραι καὶ κοιλίαι
αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν. τότε ἄρξονται λέ-
γειν τοῖς ὄρεσι, πέσετε ἐφ᾽ ἡμᾶς, καὶ τοῖς βουνοῖς, καλύψα-
τε ἡμᾶς, ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν ἐν τῷ ξη-
ρῷ τί γένηται; ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ
ἀναιρεθῆναι. καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον
κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν, καὶ τοὺς κακούργους, ὃν
μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε. Πάτερ,
ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ
τὰ ἱμάτια αὐτοῦ ἔβαλλον κλῆρον. καὶ εἱστήκει ὁ λαὸς θεωρῶν.
ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες.
ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστός, ὁ τοῦ
θεοῦ ἐκλεκτός. ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχό-
μενοι, καὶ ὄξος προσφέροντες αὐτῷ, καὶ λέγοντες, εἰ σὺ εἶ ὁ
βασιλεὺς τῶν Ἰουδαίων σῶσον σεαυτόν. ἦν δὲ καὶ ἐπιγραφὴ γε-
γραμμένη ἐπ᾽ αὐτῷ γράμμασιν ἑλληνικοῖς, καὶ ῥωμαϊκοῖς,
καὶ ἑβραϊκοῖς. Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων. εἷς δὲ
τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν, λέγων. εἰ σὺ
εἶ ὁ Χριστὸς σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος.



ἐπετίμα αὐτῷ, λέγων. Οὐδὲ φοβῇ σὺ τὸν θεόν, ὅτι ἐν τῷ αὐ-
τῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως, ἄξια γὰρ ὧν ἐπράξαμεν ἀ-
πολαμβάνομεν, οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε, καὶ ἔλεγε τῷ Ἰ-
ησοῦ. Μνήσθητί μου κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. καὶ
εἶπεν αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι, σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν
παραδείσῳ. ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν
γῆν ἕως ὥρας ἐνάτης. καὶ ἐσκοτίσθη ὁ ἥλιος. Καὶ ἐσχίσθη τὸ
καταπέτασμα τοῦ ναοῦ μέσον. Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰη-
σοῦς, εἶπε. Πάτερ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου.
καὶ ταῦτα εἰπὼν, ἐξέπνευσεν. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενό-
μενον, ἐδόξασε τὸν θεόν, λέγων. ὄντως ὁ ἄνθρωπος οὗτος δίκαι-
ος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρί-
αν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη
ὑπέστρεφον. εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυ-
ναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς γαλιλαίας ὁρῶσαι
ταῦτα. Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι ἰωσήφ, βουλευτής, ὑπάρχων
ἀνὴρ ἀγαθὸς καὶ δίκαιος, οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ
βουλῇ καὶ τῇ πράξει αὐτῶν, ἀπὸ ἀριμαθαίας πόλεως τῶν ἰουδαίων, ὃς
καὶ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ θεοῦ, οὗτος προσελ-
θὼν τῷ πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ καθελὼν αὐτὸ
ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ.
οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος. καὶ ἡμέρα ἦν παρασκευή,
καὶ σάββατον ἐπέφωσκε. κατακολουθήσασαι δὲ γυναῖκες αἵτι-
νες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς γαλιλαίας, ἐθεάσαντο τὸ
μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ. ὑποστρέψασαι δὲ, ἡτοίμα-
σαν ἀρώματα καὶ μύρα, καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐν-
τολήν. Κεφ. κδ. Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος, ἦλθον XXIIII
ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐ-
ταῖς. εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, καὶ

εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. Μνήσθητε, ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν πάντα ταῦτα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς. Ἦν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας, βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην, ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς, καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς Ἱερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ, Τὰ περὶ Ἰησοῦ τοῦ Ναζαραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς



ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ θεοῦ, καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς, καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. Ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτως, καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον. καὶ αὐτὸς εἶπε πρὸς αὐτούς, ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ προφῆται. Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ. καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. καὶ παρεβιάσαντο αὐτὸν λέγοντες, μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστί, καὶ κέκλικεν ἡ ἡμέρα. καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε καὶ κλάσας, ἐπεδίδου αὐτοῖς. αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν, καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν, καὶ εἶπον πρὸς ἀλλήλους. Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας, ὅτι ἠγέρθη ὁ κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου. Ταῦτα δὲ αὐτῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν. Καὶ λέγει αὐτοῖς,

εἰρήνη ὑμῖν. πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦ-
μα θεωρεῖν. καὶ εἶπεν αὐτοῖς. Τί τεταραγμένοι ἐστὲ, καὶ διατί
διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ἴδετε τὰς
χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι. ψηλαφήσα-
τέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ
θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖ-
ρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ
θαυμαζόντων, εἶπεν αὐτοῖς. ἔχετέ τι βρώσιμον ἐνθάδε; οἱ δὲ ἐ-
πέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου.
Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν. εἶπε δὲ αὐτοῖς, οὗτοι οἱ λόγοι
οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι
πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωσέως, καὶ προφήταις, καὶ
ψαλμοῖς περὶ ἐμοῦ. τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι
τὰς γραφάς. καὶ εἶπεν αὐτοῖς. ὅτι οὕτως γέγραπται, καὶ οὕτως
ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ
κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτι-
ῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ ἱερουσαλήμ. ὑμεῖς δέ ἐστε
μάρτυρες τούτων. καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ
πατρός μου ἐφ' ὑμᾶς. ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει ἱερουσαλὴμ
Ascensionis ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕ-
ως εἰς βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐ-
τούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐ-
τῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες
αὐτὸν, ὑπέστρεψαν εἰς ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης, καὶ
ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν θεόν.
Ἀμήν.

## ΤΕΛΟΣ ΕΥΑΓΓΕΛΙΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ





## ΒΙΟΣ ΤΟΥ ΙΩΑΝΝΟΥ ΕΚ ΤΗΣ ΤΟΥ ΔΩΡΟΘΕΟΥ ΜΑΡΤΥΡΟΣ ΚΑΙ ΤΥΡΙΩΝ ΕΠΙΣΚΟΠΟΥ ΣΥΝΟΨΕΩΣ.

ΙΩΑΝΝΗΣ ὁ ἀδελφὸς αὐτοῦ, ὁ καὶ εὐαγγε-
λιστὴς τοῦ κυρίου γενόμενος, ὃν καὶ ἠγάπα ὁ κύρι-
ος, ἐν μὲν τῇ ἀσίᾳ, ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ Χρι-
στοῦ, ὑπὸ δὲ τραϊανοῦ βασιλέως ἐξωρίσθη ἐν τῇ νή-
σῳ πάτμῳ, διὰ τὸν λόγον τοῦ κυρίου, ἐκεῖ δὲ ὢν καὶ τὸ ἅγιον εὐ-
αγγέλιον ἔγραψε, καὶ ἐξελθὼν ἐν ἐφέσῳ, διὰ γαΐου τοῦ ξενο-
δόχου καὶ διακόνου, ὃ καὶ παῦλος ὁ ἀπόστολος μαρτυρεῖ λέ-
γων ῥωμαίοις, ἀσπάζεται ὑμᾶς γάϊος ὁ ξένος μου καὶ ὅλης
τῆς ἐκκλησίας, μετὰ δὲ τὴν τελευτὴν τραϊανοῦ ἐπάνεισιν
ἀπὸ τῆς νήσου ὁ μακάριος ἰωάννης καὶ παραμένει ἐν ἐφέσῳ
καὶ ἔζησεν ἔτη. ρκ. καὶ μετὰ ταῦτα ζῶν ἑαυτὸν ἐκεῖ τέ-
θαψε θεοῦ βουλήσει. εἰσὶ δὲ οἱ λέγουσι, μὴ ἐπὶ
τραϊανοῦ αὐτὸν ἐξωρισθῆναι ἐν πάτμῳ,
ἀλλὰ ἐπὶ δομετιανοῦ, υἱοῦ οὐε-
σπασιανοῦ.

In euangelium Joannis. cap. I.

Heris agressimus parens tua regna potenti
Fulgent, et nobis inclite pastor adsis,
Tu dies sunt nostra purgata piacula culpis,
Tu dies sunt untilo mens socianda

# ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

## Κεφάλαιον πρῶτον.

I Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν
θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ
πρὸς τὸν θεόν. Πάντα διʼ αὐτοῦ ἐγένετο. καὶ χω-
ρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. Ἐν αὐτῷ
ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, καὶ
τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.
Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰω-
άννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φω-
τός, ἵνα πάντες πιστεύσωσι διʼ αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλʼ
ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει
πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ
ἦν, καὶ ὁ κόσμος διʼ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.
Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλα-
βον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πι-
στεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήμα-
τος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλʼ ἐκ θεοῦ ἐγεννή-
θησαν. Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ
ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πα-
τρός, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐ-
τοῦ, καὶ κέκραγε λέγων. οὗτος ἦν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχό-
μενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ
πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάρι-
τος, ὅτι ὁ νόμος διὰ μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ
Ἰησοῦ Χριστοῦ ἐγένετο. Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὁ μονογε-
νὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο. Καὶ



αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ ἰωάννου, ὅτε ἀπέστειλαν οἱ ἰουδαῖοι ἐξ ἱε- quarta [illegible]
ροσολύμων ἱερεῖς καὶ λευίτας, ἵνα ἐρωτήσωσιν αὐτόν, σὺ τίς
εἶ; καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο. καὶ ὡμολόγησεν, ὅτι οὐκ
εἰμὶ ἐγὼ ὁ Χριστός. καὶ ἠρώτησαν αὐτόν, τί οὖν; ἠλίας εἶ σύ;
καὶ λέγει, οὐκ εἰμί. ὁ προφήτης εἶ σύ; καὶ ἀπεκρίθη, οὔ. εἶπον
οὖν αὐτῷ, τίς εἶ, ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς;
τί λέγεις περὶ σεαυτοῦ; ἔφη. Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ,
εὐθύνατε τὴν ὁδὸν κυρίου, καθὼς εἶπεν ἠσαΐας ὁ προφήτης.
Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν φαρισαίων καὶ ἠρώτησαν αὐτόν,
καὶ εἶπον αὐτῷ. τί οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε
ἠλίας, οὔτε προφήτης. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων.
ἐγὼ βαπτίζω ἐν ὕδατι, μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ
οἴδατε, αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν
μου γέγονεν, οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος, ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα
τοῦ ὑποδήματος. Ταῦτα ἐν βηθαβαρᾷ ἐγένετο πέραν τοῦ ἰορ-
δάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων. Τῇ ἐπαύριον βλέπει ὁ ἰω-
άννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει. ἴδε ὁ ἀμ-
νὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὗτός ἐστι περὶ
οὗ ἐγὼ εἶπον. ὀπίσω μου ἔρχεται ἀνήρ, ὃς ἔμπροσθέν μου γέγο-
νεν, ὅτι πρῶτός μου ἦν, κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλʼ ἵνα
φανερωθῇ τῷ ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βα-
πτίζων. Καὶ ἐμαρτύρησεν ἰωάννης, λέγων, ὅτι τεθέαμαι τὸ
πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπʼ
αὐτόν, κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλʼ ὁ πέμψας με βαπτίζειν ἐν
ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφʼ ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖ-
νον καὶ μένον ἐπʼ αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι
ἁγίῳ. κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς
τοῦ θεοῦ. Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ ἰωάννης, καὶ ἐκ τῶν
μαθητῶν αὐτοῦ δύο, ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι,

λέγει· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· τί ζητεῖτε; οἱ δὲ εἶπον αὐτῷ· ῥαββί, ὃ λέγεται ἑρμηνευόμενον, διδάσκαλε, ποῦ μένεις; λέγει αὐτοῖς, ἔρχεσθε καὶ ἴδετε. ἦλθον καὶ εἶδον ποῦ μένει, καὶ παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην, ὥρα δὲ ἦν ὡς δεκάτη. ἦν ἀνδρέας ὁ ἀδελφὸς σίμωνος πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ. εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον σίμωνα, καὶ λέγει αὐτῷ, εὑρήκαμεν τὸν μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, Χριστός. καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, εἶπε· σὺ εἶ σίμων ὁ υἱὸς ἰωνᾶ, σὺ κληθήσῃ κηφᾶς, ὃ ἑρμηνεύεται πέτρος. τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν γαλιλαίαν, καὶ εὑρίσκει φίλιππον, καὶ λέγει αὐτῷ, ἀκολούθει μοι. ἦν δὲ ὁ φίλιππος ἀπὸ βηθσαϊδὰ ἐκ τῆς πόλεως ἀνδρέου καὶ πέτρου. εὑρίσκει φίλιππος τὸν ναθαναὴλ, καὶ λέγει αὐτῷ, ὃν ἔγραψε μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν τοῦ ἰωσὴφ τὸν ἀπὸ ναζαρέθ, καὶ εἶπεν αὐτῷ ναθαναὴλ, ἐκ ναζαρὲθ δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ φίλιππος, ἔρχου καὶ ἴδε. εἶδεν ὁ Ἰησοῦς τὸν ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ, ἴδε ἀληθῶς ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. λέγει αὐτῷ ναθαναὴλ, πόθεν με γινώσκεις; ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· πρὸ τοῦ σε φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. ἀπεκρίθη ναθαναὴλ, καὶ λέγει αὐτῷ. ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ ἰσραήλ. ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις, μείζω τούτων ὄψει. καὶ λέγει αὐτῷ, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγό-



τα, καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας, καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. Κεφ. β. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν κανᾶ τῆς γαλιλαίας. καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν. οἶνον οὐκ ἔχουσι. λέγει αὐτῇ ὁ Ἰησοῦς, τί ἐμοὶ καὶ σοὶ γύναι, οὔπω ἥκει ἡ ὥρα μου. λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις, ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο, ἢ τρεῖς. λέγει αὐτοῖς ὁ Ἰησοῦς γεμίσατε τὰς ὑδρίας ὕδατος. καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω, καὶ λέγει αὐτοῖς, ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ, καὶ ἤνεγκαν. ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν, οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος, καὶ λέγει αὐτῷ. πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω. σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν κανᾷ τῆς γαλιλαίας καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. μετὰ τοῦτο κατέβη εἰς καπερναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν ἰουδαίων, καὶ ἀνέβη εἰς ἱεροσόλυμα ὁ Ἰησοῦς. Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους. καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψε, καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν, ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ πα-

τρός μου, οἶκον ἐμπορίου. Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ, ὅτι
γεγραμμένον ἐστίν, ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. Ἀπεκρί-
θησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, τί σημεῖον δεικνύεις
ἡμῖν, ὅτι ταῦτα ποιεῖς; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς·
λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.
εἶπον οὖν οἱ Ἰουδαῖοι τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομή-
θη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; ἐ-
κεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. ὅτε οὖν ἠγέρθη ἐκ
νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι τοῦτο ἔλεγε, καὶ ἐπί-
στευσαν τῇ γραφῇ· καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. ὡς δὲ ἦν ἐν
Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν
εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει, αὐτὸς
δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευσεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώ-
σκειν πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν, ἵνα τις μαρτυρήσῃ
περὶ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ.

III Κεφ. γ. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν φαρισαίων, νικόδημος ὄ-
νομα, ἄρχων τῶν Ἰουδαίων. οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτὸς, καὶ
εἶπεν αὐτῷ· ῥαββί, οἴδαμεν, ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδά-
σκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἃ σὺ ποι-
εῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ. ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐ-
τῷ· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύ-
ναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. λέγει πρὸς αὐτὸν ὁ νικόδη-
μος, πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται
εἰς τὴν κοιλίαν μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆ-
ναι; ἀπεκρίθη ὁ Ἰησοῦς, ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεν-
νηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βα-
σιλείαν τοῦ θεοῦ. τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι. καὶ τὸ
γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι. μὴ θαυμάσῃς ὅτι
εἶπόν σοι, ὅτι δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ πνεῦμα ὅπου θέλει
πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται
καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς, ὁ γεγεννημένος ἐκ τοῦ πνεύμα-
τος. ἀπεκρίθη νικόδημος, καὶ εἶπεν αὐτῷ, πῶς δύναται ταῦτα
γενέσθαι; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, σὺ εἶ ὁ διδάσκαλος
τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; ἀμὴν ἀμὴν λέγω σοι, ὅτι ὃ
οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρ-
τυρίαν ἡμῶν οὐ λαμβάνετε. εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐκ
ἐπιστεύετε, πῶς ἐὰν εἴπω τὰ ἐπουράνια πιστεύσετε; καὶ οὐδεὶς
ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς,
ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. καὶ καθὼς μωσῆς
ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ
ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔ-
χῃ ζωὴν αἰώνιον. οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥ-
στε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐ-
τὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς
τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα
σωθῇ ὁ κόσμος δι' αὐτοῦ. ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται, ὁ δὲ
μὴ πιστεύων, ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ
μονογενοῦς υἱοῦ τοῦ θεοῦ. αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλή-
λυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ
σκότος, ἢ τὸ φῶς, ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. πᾶς γὰρ ὁ φαῦλα
πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ
ἐλεγχθῇ αὐτοῦ τὰ ἔργα. ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται
πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν θεῷ ἐστιν
εἰργασμένα. Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐ-
τοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ
ἐβάπτιζεν. Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν αἰνὼν ἐγγὺς τοῦ σα-
λείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ. καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο.
Οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. Ἐγένετο

οὖν ζήτησις ἐκ τῶν μαθητῶν ἰωάννου μετὰ ἰουδαίων περὶ καθαρισμοῦ. καὶ ἦλθον πρὸς τὸν ἰωάννην, καὶ εἶπον αὐτῷ, ῥαββὶ ὃς ἦν μετὰ σοῦ πέραν τοῦ ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. ἀπεκρίθη ἰωάννης καὶ εἶπεν, οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. αὐτοὶ ὑμεῖς μαρτυρεῖτε, ὅτι εἶπον, οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν. ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν. ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ. ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστί, καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν, ὅτι ὁ θεὸς ἀληθής ἐστιν. ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ. οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα. ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον. ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν. Κεφ. δ.

IIII Ὡς οὖν ἔγνω ὁ κύριος, ὅτι ἤκουσαν οἱ φαρισαῖοι, ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ, καὶ βαπτίζει, ἢ ἰωάννης, καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ. Ἀφῆκε τὴν ἰουδαίαν καὶ ἀπῆλθε πάλιν εἰς τὴν γαλιλαίαν. Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς σαμαρείας. ἔρχεται οὖν εἰς πόλιν τῆς σαμαρείας λεγομένην συχὰρ, πλησίον τοῦ χωρίου, ὃ ἔδωκεν ἰακὼβ ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἦν δὲ ἐκεῖ πηγὴ τοῦ ἰακώβ. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη. ἔρχεται γυνὴ ἐκ τῆς σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ



ὁ Ἰησοῦς, δός μοι πιεῖν. οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ σαμαρεῖτις. πῶς σὺ ἰουδαῖος ὤν, παρ' ἐμοῦ πιεῖν, αἰτεῖς οὔσης γυναικὸς σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται ἰουδαῖοι σαμαρείταις. ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. λέγει αὐτῷ ἡ γυνή, κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ, πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; μή σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῇ. πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν. ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. λέγει πρὸς αὐτὸν ἡ γυνή. Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. λέγει αὐτῇ ὁ Ἰησοῦς, ὕπαγε φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη ἡ γυνή. καὶ εἶπεν αὐτῷ. οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς. καλῶς εἶπας, ὅτι ἄνδρα οὐκ ἔχω. πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ. τοῦτο ἀληθὲς εἴρηκας. Λέγει αὐτῷ ἡ γυνή. Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς. Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν ἰουδαίων ἐστίν, ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ.

καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦ-
μα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀλη-
θείᾳ δεῖ προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνή. οἶδα ὅτι μεσσίας
ἔρχεται, ὁ λεγόμενος Χριστός, ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡ-
μῖν ἅπαντα. Λέγει αὐτῇ ὁ Ἰησοῦς, ἐγώ εἰμι ὁ λαλῶν σοι. καὶ ἐπὶ
τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι μετὰ γυναι-
κὸς ἐλάλει. οὐδεὶς μέντοι εἶπε, τί ζητεῖς ἢ τί λαλεῖς μετ'
αὐτῆς. ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνή, καὶ ἀπῆλθεν εἰς τὴν
πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις. Δεῦτε ἴδετε ἄνθρωπον, ὃς
εἶπέ μοι πάντα ὅσα ἐποίησα, μήτι οὗτός ἐστιν ὁ Χριστός; ἐξ-
ῆλθον οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. ἐν δὲ τῷ με-
ταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταί, λέγοντες. ῥαββί, φάγε. Ὁ δὲ
εἶπεν αὐτοῖς. Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.
ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους. μή τις ἤνεγκεν αὐτῷ
φαγεῖν; λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ
θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. οὐχ ὑ-
μεῖς λέγετε, ὅτι ἔτι τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται;
ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε
τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. καὶ ὁ θερίζων
μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα
καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος
ἐστὶν ὁ ἀληθινὸς ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων.
ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν, ὃ οὐχ ὑμεῖς κεκοπιάκατε. ἄλλοι
κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. ἐκ
δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν σαμαρει-
τῶν διὰ τὸν λόγον τῆς γυναικός, μαρτυρούσης, ὅτι εἶπέ μοι
πάντα, ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ σαμαρεῖται,
ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς, καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.
καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ. τῇ τε γυναικὶ
ἔλεγον, ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν, αὐτοὶ γὰρ
ἀκηκόαμεν, καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κό-
σμου ὁ Χριστός. Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ
ἀπῆλθεν εἰς τὴν γαλιλαίαν. Αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν,
ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει, ὅτε οὖν ἦλ-
θεν εἰς τὴν γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ γαλιλαῖοι, πάντα
ἑωρακότες, ἃ ἐποίησεν ἐν ἱεροσολύμοις ἐν τῇ ἑορτῇ. καὶ αὐ-
τοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. ἦλθεν οὖν ὁ Ἰησοῦς πάλιν εἰς τὴν
κανᾶ τῆς γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. Καὶ ἦν τις
βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει ἐν καπερναούμ. οὗτος ἀκούσας,
ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς ἰουδαίας εἰς τὴν γαλιλαίαν, ἀπῆλθε
πρὸς αὐτόν, καὶ ἠρώτα αὐτόν, ἵνα καταβῇ, καὶ ἰάσηται αὐτοῦ τὸν
υἱόν, ἤμελλε γὰρ ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν,
ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. Λέγει
πρὸς αὐτὸν ὁ βασιλικός. Κύριε κατάβηθι πρὶν ἀποθανεῖν τὸ
παιδίον μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς. πορεύου, ὁ υἱός σου ζῇ.
καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς,
καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήν-
τησαν αὐτῷ, καὶ ἀπήγγειλαν λέγοντες, ὅτι ὁ παῖς σου ζῇ. ἐπύ-
θετο οὖν παρ' αὐτῶν τὴν ὥραν, ἐν ᾗ κομψότερον ἔσχεν. καὶ εἶ-
πον αὐτῷ, ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός.
ἔγνω οὖν ὁ πατήρ, ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰη-
σοῦς, ὅτι ὁ υἱός σου ζῇ, καὶ ἐπίστευσεν αὐτός, καὶ ἡ οἰκία αὐτοῦ ὅ-
λη. τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς
ἰουδαίας εἰς τὴν γαλιλαίαν. Κεφ. ε. Μετὰ ταῦτα ἦν ἑορ-
τὴ τῶν ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς ἱεροσόλυμα. ἔστι δὲ ἐν τοῖς
ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρα, ἡ ἐπιλεγομένη
ἑβραϊστὶ βηθεσδά, πέντε στοὰς ἔχουσα, ἐν ταύταις κατέκει-
το πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν,

ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν, ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ, ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι. ἦν δέ τις ἄνθρωπος ἐκεῖ, τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ. τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς, ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· Θέλεις ὑγιὴς γενέσθαι; Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν, ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον. Ἀπεκρίθη αὐτοῖς, ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. ἠρώτησαν οὖν αὐτόν, τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει; ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν, ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ. μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστὶν ὁ ποιήσας αὐτὸν ὑγιῆ. καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι, καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ. ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ'



ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκρούς, καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ υἱός, οὓς θέλει ζωοποιεῖ, οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα πάντες τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα. Ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. καθὼς ἀκούω, κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν. Ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία, ἣν μαρτυρεῖ περὶ ἐμοῦ. ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε. ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων, ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι

πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μεί-
ζω τοῦ Ἰωάννου. Τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι ὁ πατὴρ, ἵνα τελειώσω αὐ-
τὰ, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πα-
τήρ με ἀπέσταλκε. Καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύ-
ρηκε περὶ ἐμοῦ, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε. οὔτε εἶ-
δος αὐτοῦ ἑωράκατε. Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν
ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. Ἐρευ-
νᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον
ἔχειν, καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλε-
τε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε. Δόξαν παρὰ ἀνθρώπων οὐ
λαμβάνω. ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε
ἐν ἑαυτοῖς. ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ
λαμβάνετέ με. ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖ-
νον λήψεσθε. πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλή-
λων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζη-
τεῖτε; μὴ δοκεῖτε, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέ-
ρα, ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. εἰ
γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί, περὶ γὰρ ἐμοῦ ἐκεῖνος
ἔγραψεν. εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς
VI ἐμοῖς ῥήμασι πιστεύσετε; Κεφάλ. ς. Μετὰ ταῦτα
ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβε-
ριάδος, καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ
τὰ σημεῖα, ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. Ἀνῆλθε δὲ εἰς τὸ ὄρος
ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. Ἦν δὲ ἐγγὺς
τὸ πάσχα ἡ ἑορτὴ τῶν Ἰουδαίων. Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς
ὀφθαλμοὺς, καὶ θεασάμενος, ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς
αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον. Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα
φάγωσιν οὗτοι; Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν, αὐτὸς γὰρ ᾔδει τί
ἔμελλε ποιεῖν. Ἀπεκρίθη αὐτῷ Φίλιππος. Διακοσίων δηναρί-



ων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι
λάβῃ. Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελ-
φὸς Σίμωνος Πέτρου, ἔστι παιδάριον ἓν ὧδε ὃ ἔχει πέντε ἄρ-
τους κριθίνους, καὶ δύο ὀψάρια, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσού-
τους; Εἶπε δὲ ὁ Ἰησοῦς. Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν.
ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν
ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ
εὐχαριστήσας διέδωκε τοῖς μαθηταῖς. οἱ δὲ μαθηταὶ τοῖς ἀνα-
κειμένοις, ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. ὡς δὲ ἐνεπλή-
σθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ. συναγάγετε τὰ περισσεύσαντα
κλάσματα, ἵνα μή τι ἀπόληται. συνήγαγον οὖν καὶ ἐγέμι-
σαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κρι-
θίνων. ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν. Οἱ οὖν ἄνθρωποι ἰδόν-
τες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον, ὅτι οὗτός ἐστιν ἀλη-
θῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον. Ἰησοῦς οὖν γνοὺ-
ς, ὅτι μέλλουσιν ἔρχεσθαι, καὶ ἁρπάζειν αὐτὸν, ἵνα ποιήσωσιν
αὐτὸν βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος. ὡς
δὲ ὀψία ἐγένετο κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν,
καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Κα-
περναούμ, καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐ-
τοὺς ὁ Ἰησοῦς. ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγεί-
ρετο, ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεω-
ροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου
γινόμενον, καὶ ἐφοβήθησαν. Ὁ δὲ λέγει αὐτοῖς, Ἐγώ εἰμι, μὴ φο-
βεῖσθε. ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον
ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον. Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς
πέραν τῆς θαλάσσης ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν
ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε
τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι

οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον. ἀλλὰ δὲ ἦλθε πλοιάρια ἐκ τιβεριάδος ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ κυρίου. ὅτε οὖν εἶδεν ὁ ὄχλος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν καὶ αὐτοὶ εἰς τὰ πλοιάρια, καὶ ἦλθον εἰς καπερναούμ, ζητοῦντες τὸν Ἰησοῦν. Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ, ῥαββί, πότε ὧδε γέγονας; ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλὰ ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει, τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. Εἶπον οὖν πρὸς αὐτόν. τί ποιοῦμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς. τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. Εἶπον οὖν αὐτῷ. τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον, ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ᾽ ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν, ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ. καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Εἶπον οὖν πρὸς αὐτόν. Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. Εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε. ἀλλ᾽ εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με καὶ οὐ πιστεύετε. Πᾶν ὃ δίδωσί μοι ὁ πατήρ, πρὸς ἐμὲ ἥξει. καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλλω ἔξω. Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ. οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με πα-

τρός, ἵνα



τρός, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ ἡμέρᾳ. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐγόγγυζον οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, ὅτι ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ. καὶ ἔλεγον. Οὐχ οὗτός ἐστιν Ἰησοῦς, ὁ υἱὸς ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει οὗτος, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα. Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς. Μὴ γογγύζετε μετ᾽ ἀλλήλων. οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἔστι γεγραμμένον ἐν τοῖς προφήταις. Καὶ ἔσονται πάντες διδακτοὶ τοῦ θεοῦ. Πᾶς οὖν ὁ ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μαθών, ἔρχεται πρός με, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ θεοῦ. οὗτος ἑώρακε τὸν πατέρα. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον, οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ ἰουδαῖοι, λέγοντες. Πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. Ὁ τρώγων μου τὴν σάρκα,

Ο

καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς
ἀπέστειλέ με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώ-
γων με, κἀκεῖνος ζήσεται δι᾽ ἐμέ. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ
οὐρανοῦ καταβάς, οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα
καὶ ἀπέθανον. ὁ τρώγων τοῦτον τὸν ἄρτον, ζήσει εἰς τὸν αἰῶνα.
ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν καπερναούμ. πολλοὶ
οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· σκληρός ἐστιν οὗ-
τος ὁ λόγος, τίς δύναται αὐτοῦ ἀκούειν; Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν
ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς·
τοῦτο ὑμᾶς σκανδαλίζει; Ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου
ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν,
ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦ-
μά ἐστι καὶ ζωή ἐστιν, ἀλλ᾽ εἰσὶν ἐξ ὑμῶν τινὲς οἳ οὐ πιστεύουσιν.
Ἤδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς, τινές εἰσιν οἱ μὴ πιστεύοντες, καὶ
τίς ἐστιν ὁ παραδώσων αὐτόν. Καὶ ἔλεγε· Διὰ τοῦτο εἴρηκα ὑ-
μῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον
αὐτῷ ἐκ τοῦ πατρός μου. ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐ-
τοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ᾽ αὐτοῦ περιεπάτουν. εἶπεν οὖν
ὁ Ἰησοῦς τοῖς δώδεκα. Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; Ἀπεκρί-
θη οὖν αὐτῷ σίμων πέτρος. Κύριε, πρὸς τίνα ἀπελευσόμεθα;
ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώ-
καμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. Ἀπεκρίθη
αὐτοῖς ὁ Ἰησοῦς οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην, καὶ ἐξ
ὑμῶν εἷς διάβολός ἐστιν; ἔλεγε δὲ τὸν ἰούδαν σίμωνος ἰσκαριώ-
την, οὗτος γὰρ ἤμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα.
VII Κεφ. ζ. Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ γα-
λιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐ-
τὸν οἱ ἰουδαῖοι ἀποκτεῖναι. ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν ἰουδαίων
ἡ σκηνοπηγία. εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ, μετάβη-



θι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν ἰουδαίαν, ἵνα καὶ μαθηταί σου
θεωρήσωσι τὰ ἔργα σου ἃ ποιεῖς. Οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποι-
εῖ, καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. Εἰ ταῦτα ποιεῖς, φανέ-
ρωσον σεαυτὸν τῷ κόσμῳ. Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς
αὐτόν. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς. Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πά-
ρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. οὐ δύναται
ὁ κόσμος μισεῖν ὑμᾶς. ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ
αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν, ὑμεῖς ἀνάβητε εἰς τὴν ἑ-
ορτὴν ταύτην. Ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην,
ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται. Ταῦτα δὲ εἰπὼν αὐ-
τοῖς, ἔμεινεν ἐν τῇ γαλιλαίᾳ. ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ
αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν, οὐ φανερῶς,
ἀλλ᾽ ὡς ἐν κρυπτῷ. οἱ οὖν ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορ-
τῇ, καὶ ἔλεγον. ποῦ ἐστιν ἐκεῖνος; καὶ γογγυσμὸς πολὺς πε-
ρὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις, οἱ μὲν ἔλεγον, ὅτι ἀγαθός ἐστιν,
ἄλλοι δὲ ἔλεγον, οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. οὐδεὶς μέντοι
παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν ἰουδαίων.
Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ
ἐδίδασκε, καὶ ἐθαύμαζον οἱ ἰουδαῖοι, λέγοντες. πῶς οὗτος
γράμματα οἶδε μὴ μεμαθηκώς; ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ
εἶπεν. ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με. ἐ-
άν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς,
πότερον ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ᾽ ἐμαυτοῦ λαλῶ. ὁ ἀφ᾽ ἑαυτοῦ λα-
λῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ. ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμ-
ψαντος αὐτόν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. οὐ
μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νό-
μον; τί με ζητεῖτε ἀποκτεῖναι; ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπε. Δαι-
μόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ
εἶπεν αὐτοῖς. Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.

διὰ τοῦτο μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν, οὐχ ὅτι ἐκ τοῦ
μωσέως ἐστίν, ἀλλ᾽ ἐκ τῶν πατέρων, καὶ ἐν σαββάτῳ περιτέμνε
τε ἄνθρωπον. εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ,
ἵνα μὴ λυθῇ ὁ νόμος μωσέως, ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρω
πον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; μὴ κρίνετε κατ᾽ ὄψιν, ἀλλὰ
τὴν δικαίαν κρίσιν κρίνατε. ἔλεγον οὖν τινὲς ἐκ τῶν ἱεροσολυ
μιτῶν, οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι, καὶ ἴδε παῤῥησίᾳ
λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. μήποτε ἀληθῶς ἔγνωσαν οἱ
ἄρχοντες, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; ἀλλὰ τοῦτον οἴδα
μεν πόθεν ἐστίν. ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει
πόθεν ἐστίν. Ἔκραξεν οὖν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ διδάσκων, καὶ
λέγων, κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί. καὶ ἀπ᾽ ἐμαυτοῦ
οὐκ ἐλήλυθα, ἀλλ᾽ ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ
οἴδατε. ἐγὼ δὲ οἶδα αὐτόν, ὅτι παρ᾽ αὐτοῦ εἰμί, κἀκεῖνός με ἀ
πέστειλεν. Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ᾽
αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Πολλοὶ δὲ ἐκ
τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτόν, καὶ ἔλεγον, ὅτι ὁ Χριστὸς ὅταν
ἔλθῃ, μή τι πλείονα σημεῖα τούτων ποιήσει ὧν οὗτος ἐποίησεν; Ἤ
κουσαν οἱ φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα.
Καὶ ἀπέστειλαν οἱ φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας, ἵνα
πιάσωσιν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. ἔτι μικρὸν χρό
νον μεθ᾽ ὑμῶν εἰμί, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ζητή
σετέ με, καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνα
σθε ἐλθεῖν. εἶπον οὖν οἱ ἰουδαῖοι πρὸς ἑαυτούς. ποῦ οὗτος μέλ
λει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν
διασπορὰν τῶν ἑλλήνων μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς
ἕλληνας; τίς ἐστιν οὗτος ὁ λόγος ὃν εἶπε, ζητήσετέ με, καὶ οὐχ
εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; Ἐν δὲ
τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς καὶ



ἔκραξε λέγων, ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. ὁ
πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας
αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο δὲ εἶπε περὶ τοῦ πνεύματος,
οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. οὔπω γὰρ ἦν
πνεῦμα ἅγιον, ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη. Πολλοὶ οὖν ἐκ
τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον, οὗτός ἐστιν ἀληθῶς
ὁ προφήτης. ἄλλοι ἔλεγον, οὗτός ἐστιν ὁ Χριστός. ἄλλοι δὲ ἔλε
γον, μὴ γὰρ ἐκ τῆς γαλιλαίας ὁ Χριστὸς ἔρχεται; οὐχὶ ἡ γραφὴ εἶ
πεν, ὅτι ἐκ τοῦ σπέρματος δαβίδ, καὶ ἀπὸ βηθλεὲμ τῆς κώμης,
ὅπου ἦν δαβίδ, ὁ Χριστὸς ἔρχεται; Σχίσμα οὖν ἐν τῷ ὄχλῳ
ἐγένετο δι᾽ αὐτόν. Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν, ἀλλ᾽
οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὰς χεῖρας. Ἦλθον οἱ ὑπηρέται
πρὸς τοὺς ἀρχιερεῖς καὶ φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι.
διατί οὐκ ἠγάγετε αὐτόν; Ἀπεκρίθησαν οἱ ὑπηρέται. οὐδέ
ποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. Ἀπε
κρίθησαν οὖν αὐτοῖς οἱ φαρισαῖοι. μὴ καὶ ὑμεῖς πεπλάνησθε;
Μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν, ἢ ἐκ τῶν φαρι
σαίων; ἀλλ᾽ ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατά
ρατοί εἰσι. Λέγει νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν νυκτὸς
πρὸς αὐτόν, εἷς ὢν αὐτῶν. μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρω
πον, ἐὰν μὴ ἀκούσῃ παρ᾽ αὐτοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ; Ἀπε
κρίθησαν καὶ εἶπον αὐτῷ. Μὴ καὶ σὺ ἐκ τῆς γαλιλαίας εἶ; ἐρεύ
νησον καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς γαλιλαίας οὐκ ἐγήγερται. καὶ
ἐπορεύθη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. Κεφ. η. Ἰησοῦς δὲ ἐπορεύ VIII
θη εἰς τὸ ὄρος τῶν ἐλαιῶν. ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερόν,
καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν, καὶ καθίσας ἐδίδασκεν αὐ
τούς. φέρουσι δὲ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι πρὸς αὐτὸν γυ
ναῖκα ἐν μοιχείᾳ καταληφθεῖσαν, καὶ στήσαντες αὐτὴν ἐν μέ
σῳ, λέγουσιν αὐτῷ. Διδάσκαλε, αὕτη ἡ γυνὴ κατειλήφθη

ἐπ' αὐτοφώρῳ μοιχευομένη. ἐν δὲ τῷ νόμῳ Μωσῆς ἡμῖν ἐνετείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι. σὺ οὖν τί λέγεις; τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ. Ὁ δὲ Ἰησοῦς κάτω κύψας, τῷ δακτύλῳ κατέγραφεν εἰς τὴν γῆν. ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτὸν, καὶ ἀνακύψας, εἶπε πρὸς αὐτούς. Ὁ ἀναμάρτητος ὑμῶν πρῶτος τὸν λίθον ἐπ' αὐτῇ βαλλέτω. καὶ πάλιν κάτω κύψας ἔγραφεν εἰς τὴν γῆν. Οἱ δὲ ἀκούσαντες ἐξήρχοντο εἷς καθεῖς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων, καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς, καὶ ἡ γυνὴ ἐν μέσῳ ἑστῶσα. Ἀνακύψας δὲ ὁ Ἰησοῦς, καὶ μηδένα θεασάμενος πλὴν τῆς γυναικὸς, εἶπεν αὐτῇ. ἡ γυνὴ, ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε κατέκρινεν; ἡ δὲ εἶπεν οὐδεὶς κύριε. εἶπε δὲ ὁ Ἰησοῦς. οὐδὲ ἐγώ σε κατακρίνω. πορεύου καὶ μηκέτι ἁμάρτανε. πάλιν οὖν ὁ Ἰησοῦς αὐτοῖς ἐλάλησε, λέγων. Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι. σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς. κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον, καὶ ποῦ ὑπάγω. ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω. ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν. ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ, καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ. ἔλεγον οὖν αὐτῷ. ποῦ ἐστιν ὁ πατήρ σου; Ἀπεκρίθη Ἰησοῦς. οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου. εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν. Ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων



ἐν τῷ ἱερῷ. καὶ οὐδεὶς ἐπίασεν αὐτὸν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς. Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε. ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. ἔλεγον οὖν οἱ Ἰουδαῖοι, μή τι ἀποκτενεῖ ἑαυτὸν, ὅτι λέγει, ὅτι ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; Καὶ εἶπεν αὐτοῖς. ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί. ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστὲ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. εἶπον οὖν ὑμῖν, ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἔλεγον οὖν αὐτῷ. Σὺ τίς εἶ; Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. τὴν ἀρχὴν ὅτι καὶ λαλῶ ὑμῖν. πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν, ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι. κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον. οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ. καὶ ὁ πέμψας με μετ' ἐμοῦ ἐστιν. οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστὲ, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. Ἀπεκρίθησαν αὐτῷ. σπέρμα Ἀβραάμ ἐσμέν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε, πῶς σὺ λέγεις, ὅτι ἐλεύθεροι γενήσεσθε; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε, ἀλλὰ ζητεῖτέ με

ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. Ἐγὼ ὃ ἑώ-
ρακα παρὰ τῷ πατρί μου, λαλῶ, καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ
τῷ πατρὶ ὑμῶν, ποιεῖτε. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ. ὁ πατὴρ
ἡμῶν ἀβραάμ ἐστι. Λέγει αὐτοῖς ὁ Ἰησοῦς. Εἰ τέκνα τοῦ ἀβραὰμ
ἦτε, τὰ ἔργα τοῦ ἀβραὰμ ἐποιεῖτε. Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι
ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ
τοῦ θεοῦ. τοῦτο ἀβραὰμ οὐκ ἐποίησεν. ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ
πατρὸς ὑμῶν. εἶπον οὖν αὐτῷ, ἡμεῖς ἐκ πορνείας οὐ γεγεννή-
μεθα, ἕνα πατέρα ἔχομεν τὸν θεόν. εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. Εἰ
ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ. Ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξ-
ῆλθον καὶ ἥκω. Οὐδὲ γὰρ ἀπ᾽ ἐμαυτοῦ ἐλήλυθα, ἀλλ᾽ ἐκεῖνός με
ἀπέστειλε. Διατί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε, ὅτι οὐ δύ-
νασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν. ὑμεῖς ἐκ πατρὸς τοῦ διαβόλου
ἐστὲ. καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. Ἐκεῖ-
νος ἀνθρωποκτόνος ἦν ἀπ᾽ ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστη-
κεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ, ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ
τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ. Ἐγὼ δὲ
ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι. Τίς ἐξ ὑμῶν ἐλέγχει
με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πι-
στεύετέ μοι; ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει. διὰ τοῦ-
το ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. Ἀπεκρίθησαν οὖν
οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ. οὐ καλῶς λέγομεν ἡμεῖς, ὅτι σαμα-
ρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις; Ἀπεκρίθη Ἰησοῦς. Ἐγὼ δαι-
μόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμά-
ζετέ με, ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου. ἔστιν ὁ ζητῶν καὶ κρί-
νων. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρή-
σῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. Εἶπον οὖν αὐτῷ οἱ Ἰου-
δαῖοι. Νῦν ἐγνώκαμεν, ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέ-
θανε, καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, ἐάν τις τὸν λόγον μου τη-



ρήσῃ, οὐ μὴ γεύσηται θανάτου εἰς τὸν αἰῶνα. Μὴ σὺ μεί-
ζων εἶ τοῦ πατρὸς ἡμῶν ἀβραάμ, ὅστις ἀπέθανε; καὶ οἱ προφῆ-
ται ἀπέθανον. τίνα σεαυτὸν σὺ ποιεῖς; ἀπεκρίθη Ἰησοῦς. Ἐὰν
ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν. ἔστιν ὁ πατήρ μου
ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε, ὅτι θεὸς ὑμῶν ἐστι, καὶ οὐκ ἐ-
γνώκατε αὐτόν, ἐγὼ δὲ οἶδα αὐτόν, καὶ ἐὰν εἴπω, ὅτι οὐκ οἶ-
δα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης, ἀλλ᾽ οἶδα αὐτόν, καὶ
τὸν λόγον αὐτοῦ τηρῶ. ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο,
ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη. Εἶπον οὖν
οἱ Ἰουδαῖοι πρὸς αὐτόν, πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ ἀ-
βραὰμ ἑώρακας; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. Ἀμὴν ἀμὴν λέγω ὑ-
μῖν. πρὶν ἀβραὰμ γενέσθαι ἐγώ εἰμι. ἦραν οὖν λίθους, ἵνα
βάλωσιν ἐπ᾽ αὐτόν. Ἰησοῦς δὲ ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ.
Κεφ. θ. Καὶ παράγων ὁ Ἰησοῦς. εἶδεν ἄνθρωπον τυφλὸν IX
ἐκ γενετῆς, καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες. ῥαβ-
βί, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;
ἀπεκρίθη ὁ Ἰησοῦς, οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ,
ἀλλ᾽ ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ, ἐμὲ δεῖ ἐργάζε-
σθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν. ἔρχεται νὺξ ὅ-
τε οὐδεὶς δύναται ἐργάζεσθαι. ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς
εἰμὶ τοῦ κόσμου. ταῦτα εἰπών, ἔπτυσε χαμαί, καὶ ἐποίησε πη-
λὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλ-
μοὺς τοῦ τυφλοῦ καὶ εἶπεν αὐτῷ, ὕπαγε, νίψαι εἰς τὴν κολυμ-
βήθραν τοῦ σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ
ἐνίψατο, καὶ ἦλθε βλέπων. οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες
αὐτὸν τὸ πρότερον, ὅτι τυφλὸς ἦν, ἔλεγον. οὐχ οὗτός ἐστιν
ὁ καθήμενος, καὶ προσαιτῶν; ἄλλοι ἔλεγον, ὅτι οὗτός ἐστιν.
ἄλλοι δὲ, ὅτι ὅμοιος αὐτῷ ἐστι. ἐκεῖνος ἔλεγεν, ὅτι ἐγώ εἰμι.
ἔλεγον οὖν αὐτῷ. πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; ἀπεκρί-

θη ἐκεῖνος καὶ εἶπεν· ἄνθρωπος λεγόμενος Ἰησοῦς, πηλὸν ἐ-
ποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμούς, καὶ εἶπέ μοι· ὕπαγε
εἰς τὴν κολυμβήθραν τοῦ σιλωὰμ· καὶ νίψαι· ἀπελθὼν δὲ καὶ
νιψάμενος ἀνέβλεψα· εἶπον οὖν αὐτῷ· ποῦ ἐστιν ἐκεῖνος; λέ-
γει, οὐκ οἶδα. ἄγουσιν αὐτὸν πρὸς τοὺς φαρισαίους τόν ποτε
τυφλόν. ἦν δὲ σάββατον, ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ
ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. πάλιν οὖν ἠρώτων αὐτὸν, καὶ
οἱ φαρισαῖοι, πῶς ἀνέβλεψεν. ὁ δὲ εἶπεν αὐτοῖς· πηλὸν ἐπέθη-
κέ μοι ἐπὶ τοὺς ὀφθαλμοὺς καὶ ἐνιψάμην καὶ βλέπω. ἔλεγον
οὖν ἐκ τῶν φαρισαίων τινές. οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ
τοῦ θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι δὲ ἔλεγον· πῶς δύνα-
ται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; καὶ σχίσμα
ἦν ἐν αὐτοῖς. λέγουσι τῷ τυφλῷ πάλιν· σὺ τί λέγεις περὶ αὐ-
τοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν, ὅτι προφήτης
ἐστίν. οὐκ ἐπίστευσαν οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν
καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέ-
ψαντος, καὶ ἠρώτησαν αὐτοὺς, λέγοντες. οὗτός ἐστιν ὁ υἱὸς ὑ-
μῶν, ὃν ὑμεῖς λέγετε, ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν ἄρτι
βλέπει; ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ καὶ εἶπον, οἴδαμεν
ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη, πῶς δὲ
νῦν βλέπει, οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς,
ἡμεῖς οὐκ οἴδαμεν, αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε, αὐ-
τὸς περὶ αὐτοῦ λαλήσει. ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦν-
το τοὺς ἰουδαίους. ἤδη γὰρ συνετέθειντο οἱ ἰουδαῖοι, ἵνα ἐάν τις
αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται. διὰ τοῦτο οἱ
γονεῖς αὐτοῦ εἶπον, ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε. ἐφώνη-
σαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον, ὃς ἦν τυφλὸς, καὶ εἶπον
αὐτῷ. δὸς δόξαν τῷ θεῷ, ἡμεῖς οἴδαμεν, ὅτι ὁ ἄνθρωπος
οὗτος ἁμαρτωλός ἐστιν. ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν· εἰ ἁ-



μαρτωλός ἐστιν οὐκ οἶδα. ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι βλέ-
πω. εἶπον δὲ αὐτῷ πάλιν· τί ἐποίησέ σοι, πῶς ἤνοιξέ σου τοὺς
ὀφθαλμούς; ἀπεκρίθη αὐτοῖς, εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσα-
τε, τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ
γενέσθαι; ἐλοιδόρησαν οὖν αὐτὸν, καὶ εἶπον, σὺ εἶ μαθητὴς ἐκεί-
νου, ἡμεῖς δὲ τοῦ μωσέως ἐσμὲν μαθηταί, ἡμεῖς οἴδαμεν, ὅτι
μωσῇ λελάληκεν ὁ θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ἀπε-
κρίθη ὁ ἄνθρωπος, καὶ εἶπεν αὐτοῖς, ἐν γὰρ τούτῳ τὸ θαυμαστόν
ἐστι, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶ, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλ-
μούς. οἴδαμεν δὲ, ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει. ἀλλ' ἐάν
τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. ἐκ τοῦ αἰ-
ῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννη-
μένου. εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν.
ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅ-
λος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν ἔξω. ἤκουσεν
ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ,
σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε, καὶ
τίς ἐστι κύριε, ἵνα πιστεύσω εἰς αὐτόν. εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς,
καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετά σου, ἐκεῖνός ἐστιν. ὁ δὲ ἔ-
φη, πιστεύω κύριε, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν ὁ Ἰησοῦς,
Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες
βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Καὶ ἤκουσαν ἐκ
τῶν φαρισαίων ταῦτα, οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ. Μὴ
καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. Εἰ τυφλοὶ ἦ-
τε οὐκ ἂν εἴχετε ἁμαρτίαν. Νῦν δὲ λέγετε, ὅτι βλέπομεν, ἡ
οὖν ἁμαρτία ὑμῶν μένει. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερ-
χόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀ-
ναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής. ὁ δὲ
εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων τούτων

ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει. καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς.

X Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς. Κεφ. ι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί, ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα, δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ, καὶ ἀπολέσῃ. ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει. καὶ ὁ λύκος ἁρπάζει αὐτά, καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. καθὼς γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πατέρα. Καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης. κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ταύτην τὴν ἐντολὴν



ἔλαβον παρὰ τοῦ πατρός μου. Σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους. ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν. Δαιμόνιον ἔχει, καὶ μαίνεται. τί αὐτοῦ ἀκούετε; Ἄλλοι ἔλεγον. ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου. Μὴ δαιμόνιον δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν; Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις, καὶ χειμὼν ἦν, καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ τοῦ Σολομῶντος. Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ. ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ, ἀλλ' ὑμεῖς οὐ πιστεύετε, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν, καθὼς εἶπον ὑμῖν. Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τὶς αὐτὰ ἐκ τῆς χειρός μου. Ὁ πατήρ μου ὃς δέδωκέ μοι μείζων πάντων ἐστί, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πατρός μου. Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Ἐβάστασαν οὖν πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν αὐτόν. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου. διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με; Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, λέγοντες. περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν θεόν. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν, ἐγὼ εἶπα, θεοί ἐστε; εἰ ἐκείνους εἶπε θεούς, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή, ὃν ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον, υἱὸς τοῦ θεοῦ εἰμι; εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε,

τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε, καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ. Ἐζήτουν πάλιν αὐτὸν πιάσαι. καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν, καὶ ἀπῆλθε πάλιν πέραν τοῦ ἰορδάνου εἰς τὸν τόπον, ὅπου ἦν ἰωάννης τὸ πρῶτον βαπτίζων, καὶ ἔμεινεν ἐκεῖ. Καὶ πολλοὶ ἦλθον πρὸς αὐτόν, καὶ ἔλεγον, ὅτι ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν, πάντα δὲ ὅσα εἶπεν ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν. καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν. Κεφάλ. ια

XI Ἦν δέ τις ἀσθενῶν λάζαρος ἀπὸ βηθανίας ἐκ τῆς κώμης μαρίας καὶ μάρθας τῆς ἀδελφῆς αὐτῆς. Ἦν δὲ μαρία ἡ ἀλείψασα τὸν κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς λάζαρος ἠσθένει. ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ αὐτοῦ πρὸς αὐτὸν λέγουσαι. Κύριε, ἴδε ὃν φιλεῖς, ἀσθενεῖ. ἀκούσας δὲ ὁ Ἰησοῦς, εἶπεν. αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ. ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς. ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν λάζαρον. ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς, ἄγωμεν εἰς τὴν ἰουδαίαν πάλιν. λέγουσιν αὐτῷ οἱ μαθηταί. ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; Ἀπεκρίθη ὁ Ἰησοῦς. οὐχὶ δώδεκα εἰσὶν ὧραι τῆς ἡμέρας; Ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει. Ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. Ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς. Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν. Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ. Κύριε, εἰ κεκοίμηται, σωθήσεται. Εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ, ἐκεῖνοι δὲ ἔδοξαν, ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ. Λάζαρος ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς,



ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ, ἀλλ' ἄγωμεν πρὸς αὐτόν. Εἶπεν οὖν θωμᾶς ὁ λεγόμενος δίδυμος, τοῖς μαθηταῖς. ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. Ἐλθὼν οὖν ὁ Ἰησοῦς, εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. Ἦν δὲ ἡ βηθανία ἐγγὺς τῶν ἱεροσολύμων, ὡς ἀπὸ σταδίων δεκαπέντε καὶ πολλοὶ ἐκ τῶν ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ μάρθαν καὶ μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. ἡ οὖν μάρθα, ὡς ἤκουσεν, ὅτι ὁ Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ. Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. εἶπεν οὖν ἡ μάρθα πρὸς τὸν Ἰησοῦν. Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει. ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεόν, δώσει σοι ὁ θεός. λέγει αὐτῇ ὁ Ἰησοῦς. ἀναστήσεται ὁ ἀδελφός σου. Λέγει αὐτῷ μάρθα. οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς. Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται. καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; Λέγει αὐτῷ. Ναὶ κύριε. Ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. καὶ ταῦτα εἰποῦσα, ἀπῆλθε καὶ ἐφώνησε μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα. ὁ διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε. Ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχύ, καὶ ἔρχεται πρὸς αὐτόν. οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην. ἀλλ' ἦν ἐν τῷ τόπῳ, ὅπου ὑπήντησεν αὐτῷ ἡ μάρθα. Οἱ οὖν ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν μαρίαν, ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες. ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ. ἡ οὖν μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτόν, ἔπεσεν αὐτοῦ πρὸς τοὺς πόδας, λέγουσα αὐτῷ. Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ

τοὺς συνελθόντας αὐτῇ ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο
τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν, καὶ εἶπε. Ποῦ τεθείκατε
αὐτόν; λέγουσιν αὐτῷ. Κύριε, ἔρχου καὶ ἴδε. Ἐδάκρυσεν ὁ Ἰ-
ησοῦς. Ἔλεγον οὖν ἰουδαῖοι. ἴδε πῶς ἐφίλει αὐτόν, Τινὲς δὲ
ἐξ αὐτῶν εἶπον. οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς
τοῦ τυφλοῦ, ποιῆσαι, ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; Ἰησοῦς οὖν
πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον. Ἦν δὲ
σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ᾽ αὐτῷ. Λέγει ὁ Ἰησοῦς, ἄρα-
τε τὸν λίθον. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος μάρθα. Κύ-
ριε, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς, οὐκ
εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ θεοῦ; Ἦραν οὖν
τὸν λίθον, οὗ ἦν ὁ τεθνηκὼς κείμενος. ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφ-
θαλμοὺς ἄνω, καὶ εἶπε. Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου.
Ἐγὼ δὲ ᾔδειν, ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν
περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας. Καὶ
ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε. Λάζαρε, δεῦρο ἔξω.
καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας
κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. λέγει αὐτοῖς
ὁ Ἰησοῦς. λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν. πολλοὶ οὖν ἐκ τῶν
ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν μαρίαν, καὶ θεασάμενοι ἃ ἐ-
ποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν ἀ-
πῆλθον πρὸς τοὺς φαρισαίους, καὶ εἶπον αὐτοῖς, ἃ ἐποίησεν
ὁ Ἰησοῦς. Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι συνέ-
δριον, καὶ ἔλεγον. τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολ-
λὰ σημεῖα ποιεῖ; ἐὰν ἀφῶμεν αὐτὸν οὕτως. πάντες πιστεύσου-
σιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν
καὶ τὸν τόπον, καὶ τὸ ἔθνος. εἷς δέ τις ἐξ αὐτῶν καϊάφας ἀρ-
χιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς. ὑμεῖς οὐκ οἴδα-
τε οὐδὲν, οὐδὲ διαλογίζεσθε, ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄν-
θρωπος



θρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.
τοῦτο δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκεί-
νου, προεφήτευσεν, ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν ὑπὲρ τοῦ
ἔθνους, οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ᾽ ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ
τὰ διεσκορπισμένα, συναγάγῃ εἰς ἕν. Ἀπ᾽ ἐκείνης οὖν τῆς ἡ-
μέρας συνεβουλεύσαντο, ἵνα ἀποκτείνωσιν αὐτόν. Ἰησοῦς
οὖν οὐκ ἔτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς ἰουδαίοις, ἀλλὰ ἀ-
πῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς ἐφραῒμ
λεγομένην πόλιν. Κἀκεῖ διέτριβε μετὰ τῶν μαθητῶν αὐτοῦ.
Ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν ἰουδαίων. Καὶ ἀνέβησαν πολλοὶ
εἰς ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα, ἵνα ἁγνίσωσιν ἑαυ-
τούς. ἐζήτουν οὖν τὸν Ἰησοῦν καὶ ἔλεγον μετ᾽ ἀλλήλων, ἐν τῷ ἱε-
ρῷ ἑστηκότες. τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν;
δεδώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολὴν, ἵνα
ἐάν τις γνῷ ποῦ ἐστι, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.
Κεφ. ιβ. Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς XII
βηθανίαν, ὅπου ἦν λάζαρος ὁ τεθνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν.
Ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ μάρθα διηκόνει. Ὁ δὲ
λάζαρος εἷς ἦν τῶν ἀνακειμένων σὺν αὐτῷ. Ἡ οὖν μαρία λα-
βοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πό-
δας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐ-
τοῦ, ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. Λέγει οὖν εἷς
ἐκ τῶν μαθητῶν αὐτοῦ, ἰούδας σίμωνος ἰσκαριώτης, ὁ μέλλων
αὐτὸν παραδιδόναι. Διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακο-
σίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς; Εἶπε δὲ τοῦτο, οὐχ ὅτι πε-
ρὶ τῶν πτωχῶν ἔμελλεν αὐτῷ, ἀλλ᾽ ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσό-
κομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν. Εἶπεν οὖν ὁ Ἰησοῦς.
Ἄφες αὐτήν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν
αὐτό. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ᾽ ἑαυτῶν, ἐμὲ δὲ

οὐ πάντοτε ἔχετε. Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων, ὅτι ἐκεῖ ἐστί. καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν ἀκούσαντες, ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ, καὶ ἔκραζον. ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου ὁ βασιλεὺς τοῦ ἰσραήλ. Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ' αὐτό, καθὼς ἐστι γεγραμμένον. Μὴ φοβοῦ θύγατερ σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου. Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη Ἰησοῦς, τότε ἐμνήσθησαν, ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτε τὸν λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε, ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν. Ἦσαν δέ τινες ἕλληνες ἐκ τῶν ἀναβαινόντων, ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ, οὗτοι οὖν προσῆλθον φιλίππῳ τῷ ἀπὸ βηθσαϊδὰ τῆς γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες. Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. ἔρχεται φίλιππος καὶ λέγει τῷ ἀνδρέᾳ. καὶ πάλιν ἀνδρέας καὶ φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων. ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει. ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν. καὶ ὁ μισῶν



τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ. εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοί διακονῇ τίς, ἐμοὶ ἀκολουθείτω. καὶ ὅπου εἰμὶ ἐγώ. ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. καὶ ἐάν τις ἐμοὶ διακονῇ. τιμήσει αὐτὸν ὁ πατήρ. Νῦν ἡ ψυχή μου τετάρακται. καὶ τί εἴπω; πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. πάτερ δόξασόν σου τὸ ὄνομα. ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι. ἄλλοι ἔλεγον, ἄγγελος αὐτῷ λελάληκεν. ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν. Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου. νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς πάντας ἑλκύσω πρὸς ἐμαυτόν. τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. ἀπεκρίθη αὐτῷ ὁ ὄχλος. ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα, καὶ πῶς σὺ λέγεις, δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς. ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι. περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν. τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν. ἵνα ὁ λόγος ἠσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε. κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ὑμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν ἠσαΐας, τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς. Ταῦτα εἶπεν ἠσαΐας, ὅτε ἴδε

τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ. ὅμως μέντοι καὶ ἐκ
τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν, ἀλλὰ διὰ τοὺς
φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται.
ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δό-
ξαν τοῦ θεοῦ. Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν. ὁ πιστεύων εἰς ἐμὲ, οὐ
πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με. καὶ ὁ θεωρῶν ἐμὲ,
θεωρεῖ τὸν πέμψαντά με. Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα,
ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ, ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. καὶ ἐάν τίς
μου ἀκούσῃ τῶν ῥημάτων, καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν.
οὐ γὰρ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον.
Ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρί-
νοντα αὐτόν. Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν
τῇ ἐσχάτῃ ἡμέρᾳ. ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα. ἀλλ' ὁ πέμ-
ψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λα-
λήσω. καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν λα-
λῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ πατὴρ, οὕτως λαλῶ. Κεφ. ιγ.

XIII Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἐλή-
λυθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν πα-
τέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέ-
λος ἠγάπησεν αὐτούς. Καὶ δείπνου γενομένου, τοῦ διαβόλου
ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἰούδα σίμωνος ἰσκαριώτου,
ἵνα αὐτὸν παραδῷ. Εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα δέδωκεν αὐ-
τῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθε, καὶ
πρὸς τὸν θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ
ἱμάτια, καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν. εἶτα βάλλει ὕ-
δωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας μαθητῶν,
καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος. ἔρχεται οὖν
πρὸς σίμωνα πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος. Κύριε σύ μου
νίπτεις τοὺς πόδας; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ. ὃ ἐγὼ



ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. Λέγει αὐτῷ
πέτρος. Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Ἀπεκρί-
θη αὐτῷ ὁ Ἰησοῦς. Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐ-
μοῦ. λέγει αὐτῷ σίμων πέτρος. Κύριε μὴ τοὺς πόδας μου μό-
νον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν. Λέγει αὐτῷ ὁ
Ἰησοῦς. Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι,
ἀλλ' ἔστι καθαρὸς ὅλος. καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάν-
τες. ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν, διὰ τοῦτο εἶπεν, οὐχὶ
πάντες καθαροί ἐστε. ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ ἔ-
λαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν, πάλιν εἶπεν αὐτοῖς. Γινώ-
σκετε τί πεποίηκα ὑμῖν. Ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος
καὶ κύριος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ἔνιψα ὑ-
μῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλε-
τε ἀλλήλων νίπτειν τοὺς πόδας. ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν,
ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. Ἀμὴν ἀμὴν
λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστο-
λος μείζων τοῦ πέμψαντος αὐτόν. εἰ ταῦτα οἴδατε, μακάριοί ἐ-
στε ἐὰν ποιῆτε αὐτά. Οὐ περὶ πάντων ὑμῶν λέγω, ἐγὼ οἶδα
οὓς ἐξελεξάμην. ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ' ἐ-
μοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. ἀπ' ἄρτι λέ-
γω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε, ὅτι ἐγώ
εἰμι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἐάν τινα πέμψω, ἐ-
μὲ λαμβάνει. ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν ἀποστείλαν-
τά με. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι, καὶ
ἐμαρτύρησε, καὶ εἶπεν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑ-
μῶν παραδώσει με. Ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταὶ,
ἀπορούμενοι περὶ τίνος λέγει. Ἦν δὲ ἀνακείμενος εἷς τῶν
μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς.
Νεύει οὖν τούτῳ σίμων πέτρος πυθέσθαι, τίς ἂν εἴη περὶ οὗ

λέγει· ἐπιπεσὼν δὲ ἐκεῖνος ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει αὐτῷ.
Κύριε, τίς ἐστιν; Ἀποκρίνεται ὁ Ἰησοῦς· ἐκεῖνός ἐστιν ᾧ ἐγὼ
βάψας τὸ ψωμίον ἐπιδώσω. Καὶ ἐμβάψας τὸ ψωμίον, δίδω-
σιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ. καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλ-
θεν εἰς ἐκεῖνον ὁ σατανᾶς. Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς. ὃ ποι-
εῖς, ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων
πρὸς τί εἶπεν αὐτῷ. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκο-
μον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς, ἀγόρασον ὧν
χρείαν ἔχομεν εἰς τὴν ἑορτήν, ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ. Λα-
βὼν οὖν τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθεν, ἦν δὲ νύξ. ὅτε ἐξ-
ῆλθε, λέγει ὁ Ἰησοῦς. Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς
ἐδοξάσθη ἐν αὐτῷ. εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δο-
ξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. τεκνία, ἔτι μι-
κρὸν μεθ' ὑμῶν εἰμί. ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαί-
οις, ὅτι ὅπου ὑπάγω ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέ-
γω ἄρτι. ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους,
καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. ἐν τού-
τῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε
ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος. Κύριε, ποῦ ὑπάγεις;
Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς. Ὅπου ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκο-
λουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι. Λέγει αὐτῷ ὁ Πέτρος. Κύ-
ριε, διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑ-
πὲρ σοῦ θήσω. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς. τὴν ψυχήν σου ὑπὲρ
ἐμοῦ θήσεις; Ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει,
XIIII ἕως οὗ ἀπαρνήσῃ με τρίς. Κ. ιδ. Καὶ εἶπε τοῖς μαθηταῖς αὐ-
τοῦ. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία. Πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς
ἐμὲ πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν. εἰ δὲ
μή, εἶπον ἂν ὑμῖν. πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. καὶ ἐὰν πο-
ρευθῶ ἑτοιμάσαι ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι



ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅ-
που ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς.
Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁ-
δὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς. Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀ-
λήθεια καὶ ἡ ζωή. Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰμὴ δι' ἐ-
μοῦ. Εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν, καὶ
ἀπ' ἄρτι γινώσκετε αὐτόν, καὶ ἑωράκατε αὐτόν. Λέγει αὐτῷ ὁ
Φίλιππος. Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.
Λέγει αὐτῷ ὁ Ἰησοῦς. τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμί, καὶ οὐκ
ἔγνωκάς με, Φίλιππε, ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα.
καὶ πῶς σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα; οὐ πιστεύεις, ὅτι
ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; Τὰ ῥήματα ἃ ἐγὼ
λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων,
αὐτὸς ποιεῖ τὰ ἔργα. πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ πατρί, καὶ
ὁ πατὴρ ἐν ἐμοί ἐστιν. Εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ
μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐ-
γὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅ-
τι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι. Καὶ ὅ, τι ἂν αἰτήση-
τε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν
τῷ υἱῷ. Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω.
ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. καὶ ἐγὼ
ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵ-
να μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κό-
σμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει
αὐτό. ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν
ἔσται. οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς, ἔρχομαι πρὸς ὑμᾶς. ἔτι μι-
κρόν, καὶ ὁ κόσμος με οὐκ ἔτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με.
ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε
ὑμεῖς, ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, καὶ ἐγὼ ἐν

ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, ἐκεῖνός
ἐστιν ὁ ἀγαπῶν με. Ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ
πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐ-
μαυτόν. Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· κύριε, τί
γέγονεν, ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ οὐχὶ τῷ
κόσμῳ; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ἐάν τις ἀγαπᾷ
με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν,
καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.
ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ. Καὶ ὁ λόγος ὃν
ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρός. Ταῦ-
τα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων. Ὁ δὲ παράκλητος τὸ
πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖ-
νος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ
εἶπον ὑμῖν. Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι
ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. Μὴ
ταρασσέσθω ὑμῶν ἡ καρδία. Μὴ δὲ δειλιάτω. ἠκούσατε, ὅτι
ἐγὼ εἶπον ὑμῖν, ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ ἀγαπᾶτέ
με, ἐχάρητε ἄν, ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα, ὅτι
ὁ πατήρ μείζων μου ἐστί. Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι. ἵνα
ὅταν γένηται, πιστεύσητε. οὐκ ἔτι πολλὰ λαλήσω μεθ' ὑμῶν, ἔρ-
χεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐ-
δέν, ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν πατέρα καὶ κα-
θὼς ἐνετείλατό μοι ὁ πατὴρ, οὕτως ποιῶ. ἐγείρεσθε, ἄγωμεν
XV ἐντεῦθεν. Κεφ. ιε. Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ
πατήρ μου ὁ γεωργός ἐστι. πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρ-
πὸν αἴρει αὐτό, καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλεί-
ονα καρπὸν φέρῃ. ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λε-
λάληκα ὑμῖν. μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆ-
μα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμ-



πέλῳ, οὕτως οὐδὲ ὑμεῖς ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ
ἄμπελος, ὑμεῖς τὰ κλήματα. ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐ-
τῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε
ποιεῖν οὐδέν, ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆ-
μα. καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι,
καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοί, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν
μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. Ἐν τούτῳ
ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γενήσε-
σθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέ με ὁ πατὴρ, κἀγὼ ἠγά-
πησα ὑμᾶς. Μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. ἐὰν τὰς ἐντολάς
μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐν-
τολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.
Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν πληρωθῇ. αὕτη ἐστὶν
ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑ-
μᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τὴν ψυχὴν
αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆ-
τε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. οὐκ ἔτι ὑμᾶς λέγω δούλους, ὅτι
ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος. ὑμᾶς δὲ εἴρηκα
φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα
ὑμῖν. οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς,
καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε, καὶ καρπὸν φέρητε, καὶ ὁ
καρπὸς ὑμῶν μένῃ. Ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνό-
ματί μου, δῷ ὑμῖν. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλ-
λήλους. εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον
ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον
ἐφίλει. ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς
ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ
λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν. οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐ-
τοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. εἰ τὸν λόγον μου ἐτή-

ρήσαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποι-
ήσουσιν ὑμῖν, διὰ τὸ ὄνομά μου. Ὅτι οὐκ οἴδασι τὸν πέμψαν-
τά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον.
νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μι-
σῶν, καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐ-
τοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον. Νῦν δὲ
καὶ ἑωράκασι καὶ μεμισήκασι, καὶ ἐμὲ καὶ τὸν πατέρα μου· ἀλλ'
ἵνα πληρωθῇ ὁ λόγος, ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι
ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμ-
ψω ὑμῖν παρὰ τοῦ πατρὸς τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πα-
τρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. καὶ ὑμεῖς
δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστέ. Κεφ. ις.

XVI Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. ἀποσυνα-
γώγους ποιήσουσιν ὑμᾶς. Ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτεί-
νας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. καὶ ταῦτα ποιή-
σουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. ἀλλὰ ταῦ-
τα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν,
ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι
μεθ' ὑμῶν ἤμην. Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐ-
δεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις. ἀλλ' ὅτι ταῦτα λελάλη-
κα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ' ἐγὼ τὴν
ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ
μὴ ἀπέλθω, παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. Ἐὰν δὲ πο-
ρευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει
τὸν κόσμον περὶ ἁμαρτίας, καὶ περὶ δικαιοσύνης, καὶ περὶ
κρίσεως. Περὶ ἁμαρτίας μὲν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ. Πε-
ρὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν πατέρα ὑπάγω, καὶ οὐκ ἔτι θεω-
ρεῖτέ με. Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκρι-
ται. Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρ-



τι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑ-
μᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ'
ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν.
ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.
Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι. διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ
ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Μικρὸν καὶ οὐ θεωρεῖτέ με,
καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ὑπάγω πρὸς τὸν πατέρα.
Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους. τί ἐστι τοῦτο,
ὃ λέγει ἡμῖν, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄ-
ψεσθέ με. καὶ ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. ἔλεγον οὖν, τοῦ-
το τί ἐστιν, ὃ λέγει, τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. ἔγνω
οὖν ὁ Ἰησοῦς, ὅτι ἤθελον αὐτὸν ἐρωτῆσαι, καὶ εἶπεν αὐτοῖς.
Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων, ὅτι εἶπον, μικρὸν καὶ οὐ
θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; Ἀμὴν ἀμὴν λέ-
γω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χα-
ρήσεται. ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλὰ ἡ λύπη ὑμῶν εἰς χαρὰν
γενήσεται. Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα
αὐτῆς, ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκ ἔτι μνημονεύει τῆς θλί-
ψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ὁ ἄνθρωπος εἰς τὸν κόσμον.
Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε. πάλιν δὲ ὄψομαι ὑμᾶς,
καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς
αἴρει ἀφ' ὑμῶν. καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐ-
δέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν
τῷ ὀνόματί μου, δώσει ὑμῖν. Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν
ἐν τῷ ὀνόματί μου. αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ
πεπληρωμένη. Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν. ἔρχεται
ὥρα. ὅτε οὐκ ἔτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ
περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνό-
ματί μου αἰτήσεσθε. Καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω

τὸν πατέρα περὶ ὑμῶν, αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑ-
μεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε, ὅτι ἐγὼ παρὰ τοῦ θεοῦ
ἐξῆλθον. Ἐξῆλθον παρὰ τοῦ πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κό-
σμον, πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν
πατέρα. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. ἴδε νῦν παῤῥησίᾳ
λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. νῦν οἴδαμεν, ὅτι οἶ-
δας πάντα, καὶ οὐ χρείαν ἔχεις, ἵνα τίς σε ἐρωτᾷ. ἐν τούτῳ
πιστεύομεν, ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς.
ἄρτι πιστεύετε; ἰδοὺ ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν, ἵνα σκορ-
πισθῆτε ἕκαστος εἰς τὰ ἴδια, ἐμὲ μόνον ἀφῆτε. καὶ οὐκ εἰμὶ μό-
νος, ὅτι ὁ πατὴρ μετ᾽ ἐμοῦ ἐστί. Ταῦτα λελάληκα ὑμῖν, ἵνα
ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλίψιν ἔχετε, ἀλλὰ θαρ-
Passio XVII σεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. Κεφ. ιζ. Ταῦτα ἐλά-
λησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρα-
νὸν, καὶ εἶπε. Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν,
ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν
πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν
αἰώνιον, αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μό-
νον, ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἐγώ σε
ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα
ποιήσω. καὶ νῦν δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ,
ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. Ἐφανέρωσά σου τὸ ὄνο-
μα τοῖς ἀνθρώποις, οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου. Σοὶ ἦσαν,
καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι. Νῦν
ἔγνωκαν· ὅτι πάντα ὅσα δέδωκάς μοι, παρά σου ἐστίν. ὅτι
τὰ ῥήματα ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλα-
βον, καὶ ἔγνωσαν ἀληθῶς, ὅτι παρὰ σοῦ ἐξῆλθον. καὶ ἐπίστευ-
σαν, ὅτι σύ με ἀπέστειλας. ἐγὼ περὶ αὐτῶν ἐρωτῶ. οὐ περὶ
τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι.



καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν
αὐτοῖς. καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ
εἰσί, καὶ ἐγὼ πρός σε ἔρχομαι. πάτερ ἅγιε, τήρησον αὐτοὺς
ἐν τῷ ὀνόματί σου. οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ὑ-
μεῖς. ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς
ἐν τῷ ὀνόματί σου. οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ
αὐτῶν ἀπώλετο εἰμὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ.
Νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα
ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν ἑαυτοῖς. Ἐγὼ δέ-
δωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι
οὐκ εἰσὶν ἐκ τοῦ κόσμου. καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. οὐκ
ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ᾽ ἵνα τηρήσῃς αὐ-
τοὺς ἐκ τοῦ πονηροῦ. ἐκ τοῦ κόσμου οὐκ εἰσὶ, καθὼς ἐγὼ ἐκ τοῦ
κόσμου οὐκ εἰμί. Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου. ὁ λόγος ὁ
σὸς ἀλήθειά ἐστί. καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ
ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον, καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυ-
τόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ. οὐ περὶ τούτων
δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσόντων διὰ τοῦ λόγου αὐ-
τῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ πάτερ ἐν ἐμοί, κἀ-
γὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύ-
σῃ, ὅτι σύ με ἀπέστειλας. καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι
δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν ἐσμεν. Ἐγὼ ἐν
αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα
γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐ-
τούς, καθὼς ἐμὲ ἠγάπησας. Πάτερ, οὓς δέδωκάς μοι, θέ-
λω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ᾽ ἐμοῦ, ἵνα θεωρῶσι τὴν
δόξαν τὴν ἐμήν, ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ κα-
ταβολῆς κόσμου. Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω,
ἐγὼ δέ σε ἔγνων. Καὶ οὗτοι ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας.

καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη
ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

XVIII Κεφάλ. ιη. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐξῆλθε σὺν τοῖς μα-
θηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς
ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. ᾜδει δὲ καὶ Ἰούδας ὁ πα-
ραδιδοὺς αὐτὸν, τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς
ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν
καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ με-
τὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. Ἰησοῦς οὖν εἰδὼς πάν-
τα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξελθὼν, εἶπεν αὐτοῖς· τίνα ζητεῖ-
τε; ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν ναζωραῖον. Λέγει αὐτοῖς
ὁ Ἰησοῦς, ἐγώ εἰμι. εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐ-
τὸν, μετ' αὐτῶν. ὡς οὖν εἶπεν αὐτοῖς, ὅτι ἐγώ εἰμι, ἀπῆλθον
εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί. πάλιν οὖν αὐτοὺς ἐπηρώτη-
σε· τίνα ζητεῖτε; οἱ δὲ εἶπον· Ἰησοῦν τὸν ναζωραῖον. ἀπεκρί-
θη ὁ Ἰησοῦς· εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι. εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφε-
τε τούτους ὑπάγειν. ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν· ὅτι οὓς
δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. Σίμων οὖν
πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχι-
ερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν. ἦν δὲ ὄνο-
μα τῷ δούλῳ μάλχος. Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ πέτρῳ· βάλε
τὴν μάχαιράν σου εἰς τὴν θήκην. τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ
πατὴρ, οὐ μὴ πίω αὐτό; Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ
ὑπηρέται τῶν ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτόν.
Καὶ ἀπήγαγον αὐτὸν πρὸς ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ
καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ καϊάφας ὁ
συμβουλεύσας τοῖς ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀ-
πολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ἠκολούθει δὲ τῷ Ἰησοῦ σίμων πέτρος,
καὶ ἄλλος μαθητής. Ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ
ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιε-
ρέως. Ὁ δὲ πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. Ἐξῆλθεν οὖν ὁ
μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυ-
ρωρῷ, καὶ εἰσήγαγε τὸν πέτρον. λέγει οὖν ἡ παιδίσκη ἡ θυρω-
ρὸς τῷ πέτρῳ, μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου;
Λέγει ἐκεῖνος, οὐκ εἰμί. Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται
ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο.
Ἦν δὲ μετ' αὐτῶν ὁ πέτρος ἑστὼς καὶ θερμαινόμενος. Ὁ οὖν
ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ πε-
ρὶ τῆς διδαχῆς αὐτοῦ. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥη-
σίᾳ ἐλάλησα τῷ κόσμῳ. ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συν-
αγωγῇ, καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες οἱ ἰουδαῖοι συνέρχον-
ται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. Τί με ἐπερωτᾷς; ἐπερώ-
τησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς, ἴδε οὗτοι οἴδασιν
ἃ εἶπον ἐγώ. Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστη-
κὼς ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπών· οὕτως ἀποκρίνῃ τῷ
ἀρχιερεῖ; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα, μαρ-
τύρησον περὶ τοῦ κακοῦ, εἰ δὲ καλῶς, τί με δέρεις; Ἀπέστειλεν
αὐτὸν ὁ ἄννας δεδεμένον πρὸς καϊάφαν τὸν ἀρχιερέα. Ἦν δὲ
σίμων πέτρος ἑστὼς καὶ θερμαινόμενος, εἶπον οὖν αὐτῷ· Μὴ καὶ
σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; Ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν· οὐκ εἰμί.
Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως συγγενὴς ὢν, οὗ ἀπέκο-
ψε πέτρος τὸ ὠτίον· οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ;
Πάλιν οὖν ἠρνήσατο ὁ πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.
Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ καϊάφα εἰς τὸ πραιτώριον. ἦν δὲ
πρωΐα. Καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιαν-
θῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. Ἐξῆλθεν οὖν ὁ πιλάτος πρὸς
αὐτοὺς ἔξω, καὶ εἶπε· τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου
τούτου; ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιός,

οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. εἶπεν οὖν αὐτοῖς ὁ πιλάτος.
Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν.
εἶπον οὖν αὐτῷ οἱ ἰουδαῖοι. ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα.
ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ
ἤμελλεν ἀποθνήσκειν. Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ
πιλάτος. καὶ ἐφώνησε τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ. Σὺ εἶ ὁ βασι
λεὺς τῶν ἰουδαίων; Ἀπεκρίθη ὁ Ἰησοῦς. ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις
ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ πιλάτος. Μήτι ἐ
γὼ ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν
σε ἐμοί, τί ἐποίησας; Ἀπεκρίθη ὁ Ἰησοῦς. Ἡ βασιλεία ἡ ἐμὴ
οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου. εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ
ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς
ἰουδαίοις. Νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. Εἶπεν
οὖν αὐτῷ ὁ πιλάτος. οὐκοῦν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰη
σοῦς. Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ. Ἐγὼ εἰς τοῦτο γεγέννη
μαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀλη
θείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς, λέγει αὐτῷ
ὁ πιλάτος. τί ἐστιν ἀλήθεια; καὶ τοῦτο εἰπών, πάλιν ἐξῆλθε
πρὸς τοὺς ἰουδαίους. Καὶ λέγει αὐτοῖς. Ἐγὼ οὐδὲ μίαν αἰτίαν
εὑρίσκω ἐν αὐτῷ. Ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύ
σω ἐν τῷ πάσχα, βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα
τῶν ἰουδαίων; Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες. μὴ
τοῦτον, ἀλλὰ τὸν βαραββᾶν. ἦν δὲ ὁ βαραββᾶς λῃστής.

XIX Κεφάλ. ιθ. Τότε οὖν ἔλαβεν ὁ πιλάτος τὸν Ἰησοῦν, καὶ
ἐμαστίγωσε. καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν
ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλ
ον αὐτόν, καὶ ἔλεγον. Χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων; Καὶ ἐδί
δουν αὐτῷ ῥαπίσματα. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ πιλάτος,
καὶ λέγει αὐτοῖς, ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε, ὅτι ἐν αὐτῷ

οὐδεμίαν



οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν
τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐ
τοῖς. ἴδου ὁ ἄνθρωπος. ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ
οἱ ὑπηρέται ἐκραύγασαν, λέγοντες. Σταύρωσον, σταύρωσον.
Λέγει αὐτοῖς ὁ πιλάτος. Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσα
τε. Ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν
αὐτῷ οἱ ἰουδαῖοι. ἡμεῖς νόμον ἔχομεν καὶ κατὰ νόμον ἡμῶν ὀ
φείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν τὸν υἱὸν θεοῦ ἐποίησεν. Ὅτε οὖν
ἤκουσεν ὁ πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη. καὶ εἰσῆλ
θεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ, πόθεν εἶ σύ;
Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ
πιλάτος. ἐμοὶ οὐ λαλεῖς; Οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυ
ρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰησοῦς.
Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδο
μένον ἄνωθεν. Διὰ τοῦτο ὁ παραδιδούς με σοι μείζονα ἁμαρ
τίαν ἔχει. Ἐκ τούτου ἐζήτει ὁ πιλάτος ἀπολῦσαι αὐτόν. οἱ δὲ
ἰουδαῖοι ἔκραζον, λέγοντες. Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φί
λος τοῦ καίσαρος. Πᾶς ὁ βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ
καίσαρι. Ὁ οὖν πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔ
ξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον
λιθόστρωτον, ἑβραϊστὶ δὲ γαββαθᾶ, ἦν δὲ παρασκευὴ τοῦ πάσχα,
ὥρα δὲ ὡσεὶ ἕκτη, καὶ λέγει τοῖς ἰουδαίοις. ἴδε ὁ βασιλεὺς ὑμῶν.
Οἱ δὲ ἐκραύγασαν. ἆρον ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς
ὁ πιλάτος. τὸν βασιλέα ὑμῶν σταυρώσω. Ἀπεκρίθησαν οἱ ἀρ
χιερεῖς. οὐκ ἔχομεν βασιλέα, εἰ μὴ καίσαρα. Τότε οὖν παρέ
δωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν, καὶ
ἀπήγαγον, καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμε
νον κρανίου τόπον. ὃς λέγεται ἑβραϊστὶ γολγοθᾶ, ὅπου αὐτὸν
ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέ

σον δὲ τὸν Ἰησοῦν. Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ
τοῦ σταυροῦ, ἦν δὲ γεγραμμένον. Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς
τῶν Ἰουδαίων. Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰου-
δαίων, ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος, ὅπου ἐσταυρώθη ὁ Ἰη-
σοῦς, καὶ ἦν γεγραμμένον ἑβραϊστί, ἑλληνιστί, ῥωμαϊστί. Ἔλεγον
οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων. μὴ γράφε, ὁ βα-
σιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε, βασιλεύς εἰμι τῶν
Ἰουδαίων. Ἀπεκρίθη ὁ Πιλάτος. ὃ γέγραφα, γέγραφα. Οἱ οὖν
στρατιῶται ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ,
καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν
χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄραφος ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅ-
λου. εἶπον οὖν πρὸς ἀλλήλους. Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ
λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται. ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα.
Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν
μου ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.
Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελ-
φὴ τῆς μητρὸς αὐτοῦ Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.
Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα, ὃν
ἠγάπα λέγει τῇ μητρὶ αὐτοῦ. Γύναι, ἰδοὺ ὁ υἱός σου. εἶτα λέγει
τῷ μαθητῇ. ἰδοὺ ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλα-
βεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο ἰδὼν ὁ Ἰησοῦς,
ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει. Δι-
ψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν. Οἱ δὲ πλήσαντες σπόγ-
γον ὄξους καὶ ὑσσώπῳ, περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ
στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε. Τετέλεσται. καὶ
κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν Ἰουδαῖοι,
ἐπεὶ παρασκευὴ ἦν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν
τῷ σαββάτῳ, ἦν γὰρ μεγάλη ἡμέρα ἐκείνη τοῦ σαββάτου, ἠρώ-
τησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρ-



θῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέ-
λη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόν-
τες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέ-
λη. ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε,
καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ. καὶ ὁ ἑωρακὼς μεμαρτύρη-
κε, καὶ ἀληθινὴ αὐτοῦ ἐστὶν ἡ μαρτυρία. κἀκεῖνος οἶδεν ὅτι ἀ-
ληθῆ λέγει. ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα
ἡ γραφὴ πληρωθῇ. Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. Καὶ πάλιν ἑ-
τέρα γραφὴ λέγει. ὄψονται εἰς ὃν ἐξεκέντησαν. Μετὰ δὲ ταῦ-
τα ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὢν μα-
θητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων,
ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἐπέτρεψεν ὁ Πιλάτος. Ἦλθε δὲ
καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον,
φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν. Ἔλαβον
οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρω-
μάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν. Ἦν δὲ ἐν
τῷ τόπῳ ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον
καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη. ἐκεῖ οὖν διὰ τὴν παρα-
σκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰη-
σοῦν. Κεφ. κ. Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ XX
ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν
λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμω-
να Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητήν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέ-
γει αὐτοῖς. ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ
ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ
ἤρχοντο εἰς τὸ μνημεῖον. ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος
μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ
μνημεῖον. καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέν-
τοι εἰσῆλθεν. ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ

καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπίστευσεν. οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί. Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω. ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς μνημεῖον, καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς, καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι. Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς, ὅτι ἦραν τὸν κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω. καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα. καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστί. λέγει αὐτῇ ὁ Ἰησοῦς. Γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ. Κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ αὐτὸν ἔθηκας, κἀγὼ αὐτὸν ἀρῶ. Λέγει αὐτῇ ὁ Ἰησοῦς. Μαρία, στραφεῖσα ἐκείνη, λέγει αὐτῷ, ῥαββουνὶ, ὃ λέγεται διδάσκαλε. Λέγει αὐτῇ ὁ Ἰησοῦς. Μή μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς. Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν. ἔρχεται μαρία ἡ μαγδαληνὴ, ἀναγγέλλουσα τοῖς μαθηταῖς, ὅτι ἑώρακε τὸν κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ. Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς. Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταί, ἰδόντες τὸν κύριον.



Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν. Εἰρήνη ὑμῖν. Καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς. λάβετε πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα ὁ λεγόμενος δίδυμος, οὐκ ἦν μετ᾽ αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί, ἑωράκαμεν τὸν κύριον. ὁ δὲ εἶπεν αὐτοῖς. ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ. καὶ θωμᾶς μετ᾽ αὐτῶν, ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν. Εἰρήνη ὑμῖν. εἶτα λέγει τῷ θωμᾷ, φέρε τὸν δάκτυλόν σου ὧδε. καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Ἀπεκρίθη ὁ θωμᾶς, καὶ εἶπεν αὐτῷ. ὁ κύριός μου καὶ ὁ θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς. ὅτι ἑώρακάς με θωμᾶ, πεπίστευκας, μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστὶν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Κεφ. κα.

Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς ἐπὶ τῆς θαλάσσης τῆς τιβεριάδος. ἐφανέρωσε δὲ οὕτως. ἦσαν ὁμοῦ σίμων πέτρος καὶ θωμᾶς, ὁ λεγόμενος δίδυμος, καὶ ναθαναὴλ ὁ ἀπὸ κανᾶ τῆς γαλιλαίας, καὶ οἱ τοῦ ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς σίμων πέτρος. ὑπάγω ἁλιεύειν. λέγουσιν αὐτῷ. ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. ἐξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ

ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. πρωΐας δὲ ἤδη γινομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν, οὐ μέντοι ᾔδεισαν οἱ μαθηταί, ὅτι Ἰησοῦς ἐστι. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ, οὔ. ὁ δὲ εἶπεν αὐτοῖς, βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ· κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας, ὅτι ὁ κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνός, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον. οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν. καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, δεῦτε ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν, σὺ τίς εἶ; εἰδότες, ὅτι ὁ κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ ὀψάριον ὁμοίως. τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν. Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς. Σίμων Ἰωαννᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ. Ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ. Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον. Σίμων Ἰωαννᾶ ἀγαπᾷς με; Λέγει αὐτῷ. Ναὶ κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ. Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον. Σίμων Ἰωαννᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ



τρίτον, φιλεῖς με, καὶ εἶπεν αὐτῷ. Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς. Βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτόν, καὶ περιεπάτεις ὅπου ἤθελες, ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν θεόν. καὶ τοῦτο εἰπών, λέγει αὐτῷ. ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν μαθητήν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπε. Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ. Κύριε, οὗτος δὲ τί; Λέγει αὐτῷ ὁ Ἰησοῦς. Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; σὺ ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει. καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; Οὗτός ἐστιν ὁ μαθητής, ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα. καὶ οἴδαμεν, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία.

## ΤΕΛΟΣ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

# ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

## Κεφάλαιον πρῶτον.

ΟΝ μὲν πρῶτον λόγον ἐποιησάμην περὶ
πάντων ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς
T ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας,
ἐντειλάμενος τοῖς ἀποστόλοις, διὰ πνεύ-
ματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη,
οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ
παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαρά-
κοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας
τοῦ θεοῦ, καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς, ἀπὸ ἱεροσο-
λύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πα-
τρὸς, ἣν ἠκούσατέ μου, ὅτι ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑ-
μεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύ-
τας ἡμέρας. οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν, λέγον-
τες. Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασι-
λείαν τῷ ἰσραήλ; εἶπε δὲ πρὸς αὐτούς. οὐχ ὑμῶν ἐστὶ γνῶναι
χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλ-
λὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς,
καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ ἰου-
δαίᾳ, καὶ σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς, καὶ ταῦτα εἰπὼν,
βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν
ὀφθαλμῶν αὐτῶν. καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πο-
ρευομένου αὐτοῦ. Καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς
ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον. ἄνδρες γαλιλαῖοι, τί ἑστήκατε



ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς
ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσα-
σθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. τότε ὑπέστρεψαν εἰς ἱε-
ρουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς ἱε-
ρουσαλὴμ σαββάτου ἔχον ὁδόν. καὶ ὅτε εἰσῆλθον ἀνέβησαν
εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες, ὅ, τε πέτρος καὶ ἰάκω-
βος, καὶ ἰωάννης καὶ ἀνδρέας, φίλιππος καὶ θωμᾶς, βαρ-
θολομαῖος καὶ ματθαῖος, ἰάκωβος ἀλφαίου, καὶ σίμων ὁ ζη-
λωτὴς, καὶ ἰούδας ἰακώβου. οὗτοι πάντες ἦσαν προσκαρτε-
ροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναι-
ξὶ καὶ μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.
Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς πέτρος ἐν μέσῳ τῶν
μαθητῶν, εἶπεν. ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν
εἴκοσιν. Ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύ-
την, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος δαβὶδ, πε-
ρὶ ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν, ὅτι
κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς δια-
κονίας ταύτης. οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ τοῦ μισθοῦ
τῆς ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ
ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ, καὶ γνωστὸν ἐγένετο πᾶσι
τοῖς κατοικοῦσιν ἱερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖ-
νο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν ἀκελδαμὰ, τουτέστι χωρίον αἵ-
ματος. Γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν. Γενηθήτω ἡ ἔπαυ-
λις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ καὶ τὴν ἐπι-
σκοπὴν αὐτοῦ λάβοι ἕτερος. δεῖ οὖν συνελθόντων ἡμῖν ἀνδρῶν
ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ εἰσῆλθεν ἐφ' ὑμᾶς ὁ κύρι- ἡμᾶς
ος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος ἰωάννου ἕως τῆς ἡ-
μέρας, ἧς ἀνελήφθη ἀφ' ἡμῶν. μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ
γενέσθαι σὺν ἡμῖν ἕνα τούτων. καὶ ἔστησαν δύο, ἰωσὴφ τὸν κα-

λούμενον βαρσαβᾶν, ὃς ἐπεκλήθη ἰοῦστος, καὶ ματθίαν, καὶ προσ-
ευξάμενοι, εἶπον. Σὺ κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον
ὃν ἐξελέξω ἐκ τούτων δύο, ἕνα λαβεῖν τὸν κλῆρον τῆς διακονίας
ταύτης καὶ ἀποστολῆς. ἐξ ἧς παρέβη ἰούδας πορευθῆναι εἰς τὸν
τόπον τὸν ἴδιον. καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος
ἐπὶ ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

II Κεφ. β. Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεν-
τηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό, καὶ ἐγένετο
ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ
ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν
αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ'
ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ
ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου
αὐτοῖς ἀποφθέγγεσθαι. ἦσαν δὲ ἐν ἱερουσαλὴμ κατοικοῦντες ἰουδαῖ-
οι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.
Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνε-
χύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐ-
τῶν. ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλή-
λους. οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες γαλιλαῖοι;
Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν
ᾗ ἐγεννήθημεν; πάρθοι, καὶ μῆδοι, καὶ ἐλαμῖται, καὶ οἱ κατοι-
κοῦντες τὴν μεσοποταμίαν, ἰουδαίαν τε καὶ καππαδοκίαν, πόν-
τον καὶ τὴν ἀσίαν, φρυγίαν τε καὶ παμφυλίαν, αἴγυπτον, καὶ τὰ
μέρη τῆς λιβύης τῆς κατὰ κυρήνην, καὶ οἱ ἐπιδημοῦντες ῥωμαῖοι,
ἰουδαῖοί τε καὶ προσήλυτοι, κρῆτες καὶ ἄραβες, ἀκούομεν λα-
λούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ θεοῦ. ἐξί-
σταντο δὲ πάντες, καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες.
τί ἂν θέλοι τοῦτο εἶναι; ἕτεροι δὲ χλευάζοντες, ἔλεγον. ὅτι
γλεύκους μεμεστωμένοι εἰσί. Σταθεὶς δὲ πέτρος σὺν τοῖς ἕνδε-



κα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς. ἄνδρες ἰου-
δαῖοι, καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν
γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. οὐ γὰρ ὡς ὑμεῖς
ὑπολαμβάνετε. οὗτοι μεθύουσιν. ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας.
ἀλλὰ τοῦτό ἐστι, τὸ εἰρημένον διὰ τοῦ προφήτου ἰωήλ. καὶ ἔσται ἐν
ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύμα-
τός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν,
καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψον-
ται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. καί γε
ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέ-
ραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσου-
σι, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς
κάτω, αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. ὁ ἥλιος μεταστραφή-
σεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἢ ἐλθεῖν τὴν ἡ-
μέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. καὶ ἔσται, πᾶς ὃς ἂν
ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται. ἄνδρες ἰσραηλῖται,
ἀκούσατε τοὺς λόγους τούτους. Ἰησοῦν τὸν ναζωραῖον, ἄνδρα
ἀπὸ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ
σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς
καὶ αὐτοὶ οἴδατε, τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ θεοῦ
ἔκδοτον, λαβόντες διὰ χειρῶν ἀνόμων, προσπήξαντες ἀνεί-
λετε, ὃν ὁ θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθό-
τι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. δαβὶδ γὰρ λέγει εἰς
αὐτόν. προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ
δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ. διὰ τοῦτο εὐφράνθη ἡ καρδία
μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκη-
νώσει ἐπ' ἐλπίδι, ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅ-
δου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. ἐγνώρισάς μοι
ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ
τοῦ πατριάρχου Δαβίδ, ὅτι καὶ ἐτελεύτησε, καὶ ἐτάφη, καὶ τὸ
μνῆμα αὐτοῦ ἐστὶν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. Προφήτης
οὖν ὑπάρχων, καὶ εἰδὼς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς ἐκ
καρποῦ τῆς ὀσφύος αὐτοῦ, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ, τὸ κατὰ σάρ-
κα, ἀναστῆσαι τὸν Χριστὸν, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσε-
ως τοῦ Χριστοῦ, ὅτι οὐκ ἐγκατελήφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου,
οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Τοῦτον τὸν Ἰησοῦν ἀνέστη-
σεν ὁ θεὸς, οὗ πάντες ἡμεῖς ἐσμὲν μάρτυρες. Τῇ δεξιᾷ οὖν
τοῦ θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου πνεύματος λα-
βὼν παρὰ τοῦ πατρὸς, ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούε-
τε. Οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς. λέγει δὲ αὐτός.
Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ
τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ἀσφαλῶς οὖν
γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι κύριον καὶ Χριστὸν αὐτὸν ὁ
θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. Ἀκούσαν-
τες δὲ κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ
τοὺς λοιποὺς ἀποστόλους. Τί ποιήσομεν ἄνδρες ἀδελφοί; Πέ-
τρος ἔφη πρὸς αὐτούς. Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος
ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ
λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. ὑμῖν γάρ ἐστιν ἡ ἐ-
παγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους
ἂν προσκαλέσηται κύριος ὁ θεὸς ἡμῶν. Ἑτέροις τε λόγοις
πλείοσι διεμαρτύρετο καὶ παρεκάλει, λέγων. Σώθητε ἀπὸ τῆς
γενεᾶς τῆς σκολιᾶς ταύτης. οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμε-
νοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Ἦσαν δὲ προσκαρτεροῦν-
τες τῇ διδαχῇ τῶν ἀποστόλων, καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει
τοῦ ἄρτου, καὶ ταῖς προσευχαῖς. ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος.



πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγένετο. πάν-
τες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά,
καὶ τὰ κτήματα, καὶ τὰς ὑπάρξεις ἐπίπρασκον καὶ διεμέριζον
αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχε, καθ' ἡμέραν τε προσ-
καρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ' οἶ-
κον ἄρτον, μετελάμβανον τροφῆς, ἐν ἀγαλλιάσει καὶ ἀφελότη-
τι καρδίας αἰνοῦντες τὸν θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον
τὸν λαόν. ὁ δὲ κύριος προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν
τῇ ἐκκλησίᾳ. Κεφαλ. γ. Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ III
Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς
τὴν ἐννάτην. καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑ-
πάρχων, ἐβαστάζετο, ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν
τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ
τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην
μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.
ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε. βλέψον
εἰς ἡμᾶς. ὁ δὲ ἐπεῖχεν αὐτοῖς. προσδοκῶν τι παρ' αὐτῶν
λαβεῖν. εἶπε δὲ Πέτρος. ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει
μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ
Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι, καὶ περιπάτει. καὶ κρατήσας
αὐτὸν τῆς δεξιᾶς χειρὸς, ἤγειρε. παραχρῆμα δὲ ἐστερεώθη-
σαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά. καὶ ἐξαλλόμενος ἔστη καὶ
περιεπάτει καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περιπατῶν καὶ
ἁλλόμενος καὶ αἰνῶν τὸν θεόν. καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς πε-
ριπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν. ἐπεγίνωσκόν τε αὐτὸν, ὅτι
οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ
πύλῃ τοῦ ἱεροῦ. καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐ-
πὶ τῷ συμβεβηκότι αὐτῷ. Κρατοῦντος δὲ τοῦ ἰαθέντος χω-
λοῦ τὸν Πέτρον καὶ Ἰωάννην, συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς

ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ σολομῶντος, ἔκθαμβοι. ἰδὼν δὲ πέτρος
ἀπεκρίνατο πρὸς τὸν λαόν· ἄνδρες ἰσραηλῖται, τί θαυμάζετε
ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πε
ποιηκόσι τοῦ περιπατεῖν αὐτόν; Ὁ θεὸς ἀβραὰμ καὶ ἰσαὰκ
καὶ ἰακώβ, ὁ θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ
Ἰησοῦν, ὃν ὑμεῖς παρεδώκατε καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσ
ωπον πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. ὑμεῖς δὲ τὸν ἅ
γιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρ
ισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ
θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν, καὶ ἐπὶ τῇ
πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε
τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ, ἔδωκεν αὐτῷ τὴν ὁ
λοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν. καὶ νῦν ἀδελφοὶ οἶ
δα, ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑ
μῶν, ὁ δὲ θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν
προφητῶν αὐτοῦ, παθεῖν τὸν Χριστὸν ἐπλήρωσεν οὕτως. Μετα
νοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁ
μαρτίας, ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου
τοῦ κυρίου, καὶ ἀποστείλῃ τὸν προκεκηρυγμένον ὑμῖν Ἰησοῦν Χρι
στόν, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστά
σεως πάντων, ὧν ἐλάλησεν ὁ θεὸς διὰ στόματος πάντων ἁγί
ων αὐτοῦ προφητῶν, ἀπ' αἰῶνος. Μωϋσῆς μὲν γὰρ πρὸς τοὺς
πατέρας εἶπεν, ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑ
μῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε, κατὰ πάν
τα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. ἔσται δέ, πᾶσα ψυχὴ ἥτις ἂν
μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ.
καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ σαμουήλ, καὶ τῶν καθεξῆς
ὅσοι ἐλάλησαν καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. ὑμεῖς
ἐστὲ υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ θεὸς
πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς ἀβραάμ, καὶ ἐν τῷ
σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς. ὑμῖν
πρῶτον ὁ θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ Ἰησοῦν. ἀπέστειλεν αὐ
τὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηρι
ῶν ὑμῶν. Κεφάλ. δ. Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λα IIII
όν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς, καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, καὶ
οἱ σαδδουκαῖοι, διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λα
όν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν, καὶ
ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν
αὔριον. ἦν γὰρ ἑσπέρα ἤδη. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λό
γον, ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιά
δες πέντε. Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς
ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς ἱερουσαλὴμ
καὶ ἄνναν τὸν ἀρχιερέα, καὶ καϊάφαν, καὶ ἰωάννην, καὶ ἀλέξαν
δρον, καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. καὶ στήσαντες
αὐτοὺς ἐν τῷ μέσῳ ἐπυνθάνοντο, ἐν ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ
ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; τότε πέτρος πλησθεὶς πνεύ
ματος ἁγίου, εἶπε πρὸς αὐτούς. ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύ
τεροι τοῦ ἰσραήλ, εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ
ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν
ὑμῖν, καὶ παντὶ τῷ λαῷ ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χρι
στοῦ τοῦ ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν ἐκ νε
κρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. οὗτός ἐ
στιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενό
μενος εἰς κεφαλὴν γωνίας. καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτη
ρία. οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον τὸ δεδομένον ἐν ἀνθρώποις ἐν ᾧ
δεῖ σωθῆναι ἡμᾶς. Θεωροῦντες δὲ τὴν τοῦ πέτρου παῤῥησίαν καὶ ἰω
άννου, καὶ καταλαβόμενοι, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδι
ῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτούς, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν.

τὸν δὲ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευ-
μένον, οὐδὲν εἶχον ἀντειπεῖν. κελεύσαντες δὲ αὐτοὺς ἔξω
τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους, λέγον-
τες. Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ
γνωστὸν σημεῖον γέγονε δι᾽ αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν ἱε-
ρουσαλὴμ φανερὸν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι. ἀλλ᾽ ἵνα
μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν, ἀπειλῇ ἀπειλησόμεθα
αὐτοῖς, μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώ-
πων. καὶ καλέσαντες αὐτοὺς, παρήγγειλαν αὐτοῖς, τὸ, καθό-
λου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰη-
σοῦ. ὁ δὲ πέτρος καὶ ἰωάννης ἀποκριθέντες, πρὸς αὐτοὺς
εἶπον. εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον
ἢ τοῦ θεοῦ, κρίνατε. οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ
ἠκούσαμεν, μὴ λαλεῖν. οἱ δὲ προσαπειλησάμενοι ἀπέλυ-
σαν αὐτοὺς. μηδὲν εὑρίσκοντες, τὸ, πῶς κολάσωνται αὐτοὺς
διὰ τὸν λαὸν, ὅτι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγονό-
τι. ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα ὁ ἄνθρωπος, ἐφ᾽ ὃν
ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως. ἀπολυθέντες δὲ ἦλ-
θον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν, ὅσα πρὸς αὐτοὺς οἱ
ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον. οἱ δὲ ἀκούσαντες ὁμο-
θυμαδὸν ἦραν φωνὴν πρὸς τὸν θεὸν, καὶ εἶπον. Δέσποτα, σὺ
ὁ θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν
καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ διὰ στόματος δαβὶδ παιδός σου
εἰπών. ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρ-
έστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν
ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Συνή-
χθησαν γὰρ ἐπ᾽ ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν,
ὃν ἔχρισας, ἡρώδης τε καὶ πόντιος πιλᾶτος σὺν ἔθνεσι καὶ λα-
οῖς ἰσραὴλ, ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε
γενέσθαι,

γενέσθαι. καὶ τὰ νῦν κύριε ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ
δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λό-
γον σου, ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν, καὶ ση-
μεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου
Ἰησοῦ. Καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συ-
νηγμένοι, καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου. καὶ ἐλά-
λουν τὸν λόγον τοῦ θεοῦ μετὰ παρρησίας. Τοῦ δὲ πλήθους τῶν
πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. καὶ οὐδὲ εἷς τι τῶν
ὑπαρχόντων αὐτῷ, ἔλεγεν ἴδιον εἶναι, ἀλλ᾽ ἦν αὐτοῖς ἅπαν-
τα κοινά. καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀ-
πόστολοι τῆς ἀναστάσεως τοῦ κυρίου Ἰησοῦ, χάρις τε μεγάλη ἦν ἐπὶ
πάντας αὐτούς. οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς, ὅσοι
γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον
τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας
τῶν ἀποστόλων. διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶ-
χεν. Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ
ἐστιν υἱὸς παρακλήσεως, λευίτης, κύπριος τῷ γένει, ὑπάρ-
χοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε πα-
ρὰ τοὺς πόδας τῶν ἀποστόλων. Κεφ. ε. Ἀνὴρ δέ τις V
ἀνανίας ὀνόματι σὺν σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ ἐπώλησε κτῆ-
μα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς
αὐτοῦ, καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων
ἔθηκεν. εἶπε δὲ πέτρος. Ἀνανία διατί ἐπλήρωσεν ὁ σατανᾶς
τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ νοσφί-
σασθαί σε ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; οὐχὶ μένον σοὶ ἔμενε, καὶ
πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου
τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ. ἀκού-
ων δὲ ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξε. Καὶ ἐ-
γένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. ἀνα-

στάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθα-
ψαν. Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ
εἰδυῖα τὸ γεγονὸς, εἰσῆλθεν. ἀπεκρίθη δὲ αὐτῇ ὁ πέτρος. εἰπέ
μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ἡ δὲ εἶπε. Ναὶ, τοσ-
ούτου. ὁ δὲ πέτρος εἶπε πρὸς αὐτήν. τί ὅτι συνεφωνήθη ὑμῖν
πειράσαι τὸ πνεῦμα κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν
ἄνδρα σου, ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε. ἔπεσε δὲ παραχρῆμα
παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν. εἰσελθόντες δὲ οἱ νεανί-
σκοι, εὗρον αὐτὴν νεκρὰν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν
ἄνδρα αὐτῆς. Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησί-
αν. καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Διὰ δὲ τῶν χειρῶν
τῶν ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά,
καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ σολομῶντος. Τῶν δὲ
λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν
αὐτοὺς ὁ λαός. Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ κυ-
ρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε κατὰ τὰς πλατείας
ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων,
ἵνα ἐρχομένου πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Συν-
ήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς ἱερουσαλὴμ,
φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρ-
των, οἵτινες ἐθεραπεύοντο ἅπαντες. Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς
καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν σαδδουκαίων,
ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀ-
ποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. Ἄγγελος
δὲ κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών
τε αὐτοὺς εἶπε, πορεύεσθε καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ
τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. Ἀκούσαντες δὲ
εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. παραγε-
νόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέ-



δριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν ἰσραὴλ, καὶ ἀπέστει-
λαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. οἱ δὲ ὑπηρέται παρα-
γενόμενοι, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ, ἀναστρέψαντες
ἀπήγγειλαν, λέγοντες, ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κε-
κλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἔξω ἑστῶ-
τας πρὸ τῶν θυρῶν. ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν.
ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους. ὅ, τε ἱερεὺς καὶ ὁ στρατη-
γὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν, τί ἂν
γένοιτο τοῦτο. παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς,
ὅτι ἰδοὺ οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱε-
ρῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. Τότε ἀπελθὼν ὁ
στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας.
ἐφοβοῦντο γὰρ τὸν λαὸν, ἵνα μὴ λιθασθῶσιν. ἀγαγόντες δὲ
αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ. καὶ ἐπηρώτησεν αὐτοὺς ὁ
ἀρχιερεὺς λέγων. οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, μὴ δι-
δάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν ἱε-
ρουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ'
ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. Ἀποκριθεὶς δὲ ὁ πέτρος καὶ
οἱ ἀπόστολοι, εἶπον. Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον, ἢ ἀνθρώ-
ποις. ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς δι-
εχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου. Τοῦτον ὁ θεὸς ἀρχηγὸν
καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ
ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν. καὶ ὑμεῖς ἐσμὲν αὐτοῦ μάρτυ-
ρες τῶν ῥημάτων τούτων, καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ
θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Οἱ δὲ ἀκούσαντες διεπρίον-
το, καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς. ἀναστὰς δέ τις ἐν τῷ συ-
νεδρίῳ φαρισαῖος ὀνόματι γαμαλιὴλ, νομοδιδάσκαλος τί-
μιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς ἀποστό-
λους ποιῆσαι. εἶπέ τε πρὸς αὐτούς. ἄνδρες ἰσραηλῖται,

προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε
πράσσειν. πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη θευδᾶς, λέγων
εἶναί τινα ἑαυτὸν, ᾧ προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τε-
τρακοσίων, ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διε-
λύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. μετὰ τοῦτον ἀνέστη ἰούδας ὁ
γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε
λαὸν ἱκανὸν ὀπίσω αὐτοῦ, κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅ-
σοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν. καὶ τὰ νῦν λέγω ὑμῖν,
ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς, ὅτι
ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ, ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται.
Εἰ δὲ ἐκ θεοῦ ἐστιν, οὐ δύνασθε καταλῦσαι αὐτό, μήποτε καὶ
θεομάχοι εὑρεθῆτε. ἐπείσθησαν δὲ αὐτῷ, καὶ προσκαλεσά-
μενοι τοὺς ἀποστόλους, δείραντες παρήγγειλαν, μὴ λαλεῖν
ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς. οἱ μὲν οὖν ἐ-
πορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ
τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι, πᾶσάν τε ἡμέ-
ραν ἐν τῷ ἱερῷ, καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες,
VI καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν Χριστόν. Κεφ. ς. Ἐν δὲ
ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν ἐγένετο
γογγυσμὸς τῶν ἑλληνιστῶν πρὸς τοὺς ἑβραίους, ὅτι παρεθεω-
ροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. προσκα-
λεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον, οὐκ
ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ, διακονεῖν
τραπέζαις. ἐπισκέψασθε οὖν ἀδελφοὶ ἄνδρας ἐξ ὑμῶν μαρτυ-
ρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου, καὶ σοφίας, οὓς
καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. ἡμεῖς δὲ τῇ προσευχῇ,
καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. καὶ ἤρεσεν ὁ
λόγος ἐνώπιον παντὸς τοῦ πλήθους, καὶ ἐξελέξαντο στέφανον ἄν-
δρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ φίλιππον, καὶ



πρόχορον, καὶ νικάνορα, καὶ τίμωνα, καὶ παρμενᾶν, καὶ νικό-
λαον προσήλυτον ἀντιοχέα. οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστό-
λων, καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. καὶ ὁ
λόγος τοῦ θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν
ἐν ἱερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκου-
ον τῇ πίστει. Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει
τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. ἀνέστησαν δέ τινες
τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης λιβερτίνων, καὶ κυρηναί-
ων, καὶ ἀλεξανδρέων, καὶ τῶν ἀπὸ κιλικίας, καὶ ἀσίας, συ-
ζητοῦντες τῷ στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ,
καὶ τῷ πνεύματι ᾧ ἐλάλει. τότε ὑπέβαλον ἄνδρας, λέγοντας,
ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς μωσῆν
καὶ τὸν θεόν. Συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους
καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν, καὶ
ἤγαγον εἰς τὸ συνέδριον, ἔστησάν τε μάρτυρας ψευδεῖς, λέ-
γοντας. ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα
λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου. ἀκηκόαμεν
γὰρ αὐτοῦ λέγοντος, ὅτι ὁ Ἰησοῦς ὁ ναζωραῖος οὗτος καταλύ-
σει τὸν τόπον τοῦτο, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν
μωϋσῆς καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι
ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον
ἀγγέλου. Κεφ. ζ. Εἶπε δὲ ὁ ἀρχιερεύς. Εἰ ἄρα ταῦτα οὕ- VII
τως ἔχει; ὁ δὲ ἔφη. ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε.
Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν ἀβραὰμ, ὄντι ἐν τῇ με-
σοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν χαῤῥὰν, καὶ εἶπε πρὸς
αὐτόν. ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦ-
ρο εἰς γῆν ἣν ἄν σοι δείξω. Τότε ἐξελθὼν ἐκ γῆς χαλδαίων,
κατῴκησεν ἐν χαῤῥάν. Κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πα-
τέρα αὐτοῦ μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς

νῦν κατοικεῖτε. καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ,
οὐδὲ βῆμα ποδός. καὶ ἐπηγγείλατο αὐτῷ δοῦναι εἰς κατάσχε-
σιν αὐτήν, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, οὐκ ὄντος αὐτῷ τέ-
κνου. ἐλάλησε δὲ οὕτως ὁ θεὸς, ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροι-
κον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ, καὶ κακώσουσι ἔτη τε-
τρακόσια. καὶ τὸ ἔθνος ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ. εἶπεν
ὁ θεός. καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ
τόπῳ τούτῳ, καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ οὕτως
ἐγέννησε τὸν ἰσαὰκ, καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ,
καὶ ὁ ἰσαὰκ τὸν ἰακὼβ, καὶ ὁ ἰακὼβ τοὺς δώδεκα πατριάρχας, καὶ
οἱ πατριάρχαι ζηλώσαντες τὸν ἰωσὴφ, ἀπέδοντο εἰς αἴγυ-
πτον. καὶ ἦν ὁ θεὸς μετ' αὐτοῦ, καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν
θλίψεων αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον φα-
ραὼ βασιλέως αἰγύπτου, καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ'
αἴγυπτον. καὶ ὅλον τὸν οἶκον αὐτοῦ. ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν
γῆν αἰγύπτου, καὶ χαναὰν, καὶ θλίψις μεγάλη, καὶ οὐχ εὕρι-
σκον χορτάσματα οἱ πατέρες ἡμῶν. ἀκούσας δὲ ἰακὼβ ὄντα
σῖτα ἐν αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον. καὶ
ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φα-
νερὸν ἐγένετο τῷ φαραῷ τὸ γένος ἰωσήφ. Ἀποστείλας δὲ ἰω-
σὴφ μετεκαλέσατο τὸν πατέρα αὐτοῦ ἰακὼβ, καὶ πᾶσαν τὴν συγ-
γένειαν ἐν ψυχαῖς ἑβδομήκοντα πέντε. Κατέβη δὲ ἰακὼβ εἰς
αἴγυπτον καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν, καὶ μετε-
τέθησαν εἰς συχὲμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο
ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν ἐμμὸρ τοῦ συχέμ. καθὼς
δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ θεὸς τῷ ἀ-
βραὰμ, ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν αἰγύπτῳ, ἄχρις οὗ
ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν ἰωσήφ. οὗτος κατασο-
φισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν, τοῦ



ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ ζωογονεῖσθαι, ἐν ᾧ καιρῷ
ἐγεννήθη μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ θεῷ, ὃς ἀνετράφη
μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός. ἐκτεθέντα δὲ αὐτὸν ἀν-
είλετο αὐτὸν ἡ θυγάτηρ φαραὼ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ
εἰς υἱόν. καὶ ἐπαιδεύθη μωϋσῆς πάσῃ σοφίᾳ αἰγυπτίων, ἦν
δὲ δυνατὸς ἐν ἔργοις καὶ ἐν λόγοις. ὡς δὲ ἐπληροῦτο αὐ-
τῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ,
ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς ἰσραήλ. καὶ
ἰδών τινα ἀδικούμενον, ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν
τῷ καταπονουμένῳ, πατάξας τὸν αἰγύπτιον. ἐνόμιζε δὲ συ-
νιέναι τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ θεὸς διὰ χειρὸς αὐτοῦ δί-
δωσιν αὐτοῖς σωτηρίαν. οἱ δὲ οὐ συνῆκαν. τῇ τε ἐπιούσῃ ἡμέ-
ρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρή-
νην, εἰπών. ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς, ἵνα τί ἀδικεῖτε ἀλ-
λήλους; Ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτὸν, εἰπών.
Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; Μὴ ἀνε-
λεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν αἰγύπτιον; ἔ-
φυγε δὲ μωσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος
ἐν γῇ μαδιὰμ, οὗ ἐγέννησεν υἱοὺς δύο. καὶ πληρωθέντων ἐτῶν
τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους σινᾶ ἄγγε-
λος κυρίου ἐν φλογὶ πυρὸς βάτου. ὁ δὲ μωϋσῆς ἰδὼν ἐθαύ-
μασε τὸ ὅραμα. Προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγέ-
νετο φωνὴ κυρίου πρὸς αὐτόν. ἐγὼ ὁ θεὸς τῶν πατέρων σου,
ὁ θεὸς ἀβραὰμ, καὶ ὁ θεὸς ἰσαὰκ, καὶ ὁ θεὸς ἰακώβ. ἔντρο-
μος δὲ γενόμενος μωϋσῆς, οὐκ ἐτόλμα κατανοῆσαι. εἶπε δὲ
αὐτῷ ὁ κύριος. λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τό-
πος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν. ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λα-
οῦ μου τοῦ ἐν αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην
ἐξελέσθαι αὐτούς. καὶ νῦν δεῦρο, καὶ ἀποστελῶ σε εἰς αἴγυπτον.

τοῦτον τὸν μωϋσῆν, ὃν ἠρνήσαντο εἰπόντες, τίς σε κατέστησεν
ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ θεὸς ἄρχοντα καὶ λυτρωτὴν ἀ-
πέσταλκεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. Οὗ-
τος ἐξήγαγεν αὐτοὺς, ποιήσας τέρατα καὶ σημεῖα ἐν τῇ αἰγύ-
πτῳ, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκον-
τα. οὗτός ἐστιν ὁ μωϋσῆς, ὁ εἰπὼν τοῖς υἱοῖς ἰσραήλ. προφή-
την ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν,
ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε. οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκ-
κλησίᾳ ἐν τῇ ἐρήμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν
τῷ ὄρει σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγον ζῶν-
τα δοῦναι ἡμῖν. ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέ-
ρες ἡμῶν, ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν
εἰς αἴγυπτον, εἰπόντες τῷ ἀαρών. ποίησον ἡμῖν θεοὺς, οἳ
προπορεύσονται ἡμῶν. ὁ γὰρ μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν
ἡμᾶς ἐκ γῆς αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. καὶ ἐμο-
σχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν
τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.
ἔστρεψε δὲ ὁ θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ
οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν. μὴ σφάγι-
α καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐ-
ρήμῳ οἶκος ἰσραήλ; καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ μολὸχ, καὶ τὸ
ἄστρον τοῦ θεοῦ ὑμῶν ῥεμφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προ-
σκυνεῖν αὐτοῖς. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα βαβυλῶνος. ἡ
σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς
διετάξατο ὁ λαλῶν τῷ μωσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον,
ὃν ἑωράκει. ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν
μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἔξωσεν ὁ θεὸς ἀπὸ
προσώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν δαβὶδ, ὃς εὗρε
χάριν ἐνώπιον τοῦ θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ θεῷ ἰα-



κώβ. Σολομῶν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. ἀλλ' οὐχ ὁ ὕψι-
στος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέ-
γει. ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου.
ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος, ἢ τίς τόπος τῆς κα-
ταπαύσεώς μου; οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; σκλη-
ροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν. ὑμεῖς ἀεὶ
τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν, καὶ
ὑμεῖς. τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ
ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δι-
καίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε, οἵτινες ἐ-
λάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.
ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυ-
χον τοὺς ὀδόντας ἐπ' αὐτόν. ὑπάρχων δὲ πλήρης πνεύ-
ματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν θεοῦ, καὶ
Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ. Καὶ εἶπεν. Ἰδοὺ θεωρῶ τοὺς οὐ-
ρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα
τοῦ θεοῦ. Κράξαντες δὲ φωνῇ μεγάλῃ. συνέσχον τὰ ὦτα αὐτῶν,
καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν. καὶ ἐκβαλόντες ἔξω τῆς
πόλεως ἐλιθοβόλουν, καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια
παρὰ τοὺς πόδας νεανίου καλουμένου σαύλου, καὶ ἐλιθοβό-
λουν τὸν στέφανον ἐπικαλούμενον, καὶ λέγοντα. Κύριε Ἰησοῦ δέ-
ξαι τὸ πνεῦμά μου. Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ.
κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰ-
πὼν, ἐκοιμήθη. Κεφ. η. Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ VIII
ἀναιρέσει αὐτοῦ. ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας
ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν ἱεροσολύμοις, πάντες τε διεσπάρη-
σαν κατὰ τὰς χώρας τῆς ἰουδαίας καὶ σαμαρείας πλὴν τῶν
ἀποστόλων. Συνεκόμισαν δὲ τὸν στέφανον ἄνδρες εὐλαβεῖς, καὶ
ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ. Σαῦλος δὲ ἐλυμαίνετο

τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν. οἱ μὲν οὖν διασπαρέντες διῆλθον, εὐαγγελιζόμενοι τὸν λόγον. Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ φιλίππου ὁμοθυμαδὸν ἐν τῷ ἀκούειν αὐτούς, καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει. πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ, ἐξήρχετο. πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ. Ἀνὴρ δέ τις ὀνόματι σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων, καὶ ἐξιστῶν τὸ ἔθνος τῆς σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν, ᾧ προσεῖχον ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες, οὗτός ἐστιν ἡ δύναμις τοῦ θεοῦ ἡ μεγάλη. προσεῖχον δὲ αὐτῷ, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς. ὅτε δὲ ἐπίστευσαν τῷ φιλίππῳ, εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ, καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες. ὁ δὲ σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ φιλίππῳ. Θεωρῶν τε δυνάμεις καὶ σημεῖα γινόμενα ἐξίστατο. Ἀκούσαντες δὲ οἱ ἐν ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ σαμάρεια τὸν λόγον τοῦ θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν πέτρον καὶ ἰωάννην, οἵτινες καταβάντες, προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον. οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Χριστοῦ Ἰησοῦ. τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον. Θεασάμενος δὲ ὁ σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων. Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. πέτρος δὲ



εἶπε πρὸς αὐτόν. τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. Ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ. Μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. Ἀποκριθεὶς δὲ ὁ σίμων, εἶπε. Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε. οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ κυρίου, ὑπέστρεψαν εἰς ἱερουσαλήμ, πολλάς τε κώμας τῶν σαμαρειτῶν εὐηγγελίσαντο. Ἄγγελος δὲ κυρίου ἐλάλησε πρὸς φίλιππον, λέγων. Ἀνάστηθι, καὶ πορεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν, τὴν καταβαίνουσαν ἀπὸ ἱερουσαλὴμ εἰς γάζαν, αὕτη ἐστὶν ἔρημος. καὶ ἀναστὰς ἐπορεύθη. καὶ ἰδοὺ ἀνὴρ αἰθίοψ, εὐνοῦχος, δυνάστης κανδάκης τῆς βασιλίσσης αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς ἱερουσαλήμ, ἦν τε ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην ἡσαΐαν. Εἶπε δὲ τὸ πνεῦμα τῷ φιλίππῳ. πρόσελθε, καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. προσδραμὼν δὲ ὁ φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν προφήτην ἡσαΐαν, καὶ εἶπεν. ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; ὁ δὲ εἶπε. πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; παρεκάλεσέ τε τὸν φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν, ἦν αὕτη. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ φιλίππῳ

εἶπε· δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο, περὶ ἑαυ-
τοῦ, ἢ περὶ ἑτέρου τινός; Ἀνοίξας δὲ ὁ φίλιππος τὸ στόμα αὐ-
τοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ
τὸν Ἰησοῦν. ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕ-
δωρ, καί φησιν ὁ εὐνοῦχος, ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆ-
ναι; εἶπε δὲ ὁ φίλιππος· εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν.
ἀποκριθεὶς δὲ εἶπε· πιστεύω τὸν υἱὸν τοῦ θεοῦ εἶναι τὸν Ἰησοῦν Χρι-
στόν. καὶ ἐκέλευσε στῆναι τὸ ἅρμα. καὶ κατέβησαν ἀμφότεροι
εἰς τὸ ὕδωρ, ὅ, τε φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν
αὐτόν, ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, πνεῦμα κυρίου ἥρπα-
σε τὸν φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος. Ἐπο-
ρεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. φίλιππος δὲ εὑρέθη εἰς ἄζω-
τον, καὶ διερχόμενος, εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως
IX τοῦ ἐλθεῖν αὐτὸν εἰς καισάρειαν. Κεφ. θ. Ὁ δὲ Σαῦλος
ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ κυρίου,
προσελθὼν τῷ ἀρχιερεῖ ᾐτήσατο παρ᾽ αὐτοῦ ἐπιστολὰς εἰς δα-
μασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ
ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς ἱερου-
σαλήμ. ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ δαμα-
σκῷ, καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ, καὶ πε-
σὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνὴν, λέγουσαν αὐτῷ, σαοὺλ σαοὺλ,
τί με διώκεις; εἶπε δέ· τίς εἶ κύριε; ὁ δὲ κύριος εἶπεν· ἐγώ εἰμι
Ἰησοῦς, ὃν σὺ διώκεις. Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. τρέ-
μων τε καὶ θαμβῶν εἶπε· κύριε, τί με θέλεις ποιῆσαι; καὶ ὁ
κύριος πρὸς αὐτόν. ἀνάστηθι, καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ
λαληθήσεταί σοι, τί σε δεῖ ποιεῖν. οἱ δὲ ἄνδρες οἱ συνοδεύ-
οντες αὐτῷ εἱστήκεισαν ἐννεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μηδέ-
να δὲ θεωροῦντες. ἠγέρθη δὲ ὁ σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων
τε τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε. χειραγωγοῦντες



δὲ αὐτὸν, εἰσήγαγον εἰς δαμασκόν. καὶ ἦν ἡμέρας τρεῖς
μὴ βλέπων, καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιεν. ἦν δέ τις μαθη-
τὴς ἐν δαμασκῷ, ὀνόματι ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ
κύριος ἐν ὁράματι, ἀνανία. ὁ δὲ εἶπεν, ἰδοὺ ἐγὼ κύριε.
ὁ δὲ κύριος πρὸς αὐτόν. ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην
τὴν καλουμένην εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ ἰούδα, Σαῦ-
λον ὀνόματι ταρσέα. ἰδοὺ γὰρ προσεύχεται. καὶ εἶδεν ἐν
ὁράματι ἄνδρα ὀνόματι ἀνανίαν εἰσελθόντα, καὶ ἐπιθέντα
αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ. ἀπεκρίθη δὲ ἀνανίας. κύρι-
ε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐ-
ποίησε τοῖς ἁγίοις σου ἐν ἱερουσαλήμ. καὶ ὧδε ἔχει ἐξου-
σίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας τοὺς ἐπικαλουμέ-
νους τὸ ὄνομά σου. εἶπε δὲ πρὸς αὐτὸν ὁ κύριος. πορεύου,
ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου
ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε ἰσραήλ. ἐγὼ γὰρ ὑπο-
δείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. ἀ-
πῆλθε δὲ ἀνανίας καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς
ἐπ᾽ αὐτὸν τὰς χεῖρας, εἶπε. Σαοὺλ ἀδελφὲ, ὁ κύριος ἀπέσταλ-
κέ με, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς,
καὶ πλησθῇς πνεύματος ἁγίου. καὶ εὐθέως ἀπέπεσον ἀπὸ
τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε. καὶ ἀνα-
στὰς ἐβαπτίσθη, καὶ λαβὼν ἐνίσχυσεν. Ἐγένετο δὲ ὁ σαῦλος
μετὰ τῶν ἐν δαμασκῷ μαθητῶν ἡμέρας τινάς. καὶ εὐθέως
ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστὸν, ὅτι οὗτός ἐστιν ὁ
υἱὸς τοῦ θεοῦ. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον·
οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν ἱερουσαλὴμ τοὺς ἐπικαλου-
μένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς τοῦτο ἐληλύθει, ἵνα δεδεμέ-
νους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς; Σαῦλος δὲ μᾶλλον
ἐνεδυναμοῦτο. καὶ συνέχυνε τοὺς ἰουδαίους, τοὺς κατοικοῦντας

ἐν δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ ἰουδαῖοι ἀνελεῖν αὐτόν. ἐγνώσθη δὲ τῷ σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτὸς, ὅπως αὐτὸν ἀνέλωσι. λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς, καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι. Παραγενόμενος δὲ ὁ σαῦλος ἐν ἱερουσαλὴμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς. καὶ πάντες ἐφοβοῦντο αὐτὸν, μὴ πιστεύοντες, ὅτι ἐστὶ μαθητής. βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ. Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος εἰς ἱερουσαλὴμ, καὶ παῤῥησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ. ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς ἑλληνιστάς. οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν. ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ, κατήγαγον αὐτὸν εἰς καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς ταρσόν. αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς ἰουδαίας καὶ γαλιλαίας καὶ σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. Ἐγένετο δὲ, πέτρον διερχόμενον διὰ πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους, τοὺς κατοικοῦντας λύδδαν. εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ, ὃς ἦν παραλελυμένος. καὶ εἶπεν αὐτῷ ὁ πέτρος. αἰνέα, ἰᾶταί σε ὁ Ἰησοῦς Χριστός. ἀνάστηθι, καὶ στρῶσον σεαυτῷ, καὶ εὐθέως ἀνέστη. καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες λύδδαν καὶ τὸν ἀσσάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν κύριον. Ἐν ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι ταβιθὰ, ἣ διερμηνευομένη λέγεται δορκάς. αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν.



λούσαντες δὲ αὐτὴν, ἔθηκαν ἐν ὑπερῴῳ. ἐγγὺς δὲ οὔσης λύδδης τῇ ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες, ὅτι πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν πρὸς αὐτὸν, παρακαλοῦντες, μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. ἀναστὰς δὲ πέτρος, συνῆλθεν αὐτοῖς. ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια, ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ δορκάς. ἐκβαλὼν δὲ ἔξω πάντας ὁ πέτρος θεὶς τὰ γόνατα προσηύξατο. καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε, ταβιθὰ, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν πέτρον, ἀνεκάθισε. δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν. φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν. γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν κύριον. Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν ἰόππῃ παρά τινι σίμωνι βυρσεῖ. Κεφάλαιον. ι.

X Ἀνὴρ δέ τις ἦν ἐν καισαρείᾳ, ὀνόματι κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης ἰταλικῆς, εὐσεβὴς καὶ φοβούμενος τὸν θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ θεοῦ διὰ παντός. εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥραν ἐννάτην τῆς ἡμέρας, ἄγγελον τοῦ θεοῦ εἰσελθόντα πρὸς αὐτὸν, καὶ εἰπόντα αὐτῷ. Κορνήλιε. ὁ δὲ ἀτενίσας αὐτῷ, καὶ ἔμφοβος γενόμενος, εἶπε. τί ἐστι κύριε; εἶπε δὲ αὐτῷ. αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ θεοῦ. Καὶ νῦν πέμψον εἰς ἰόππην ἄνδρας, καὶ μετάπεμψαι σίμωνα τὸν ἐπικαλούμενον πέτρον. οὗτος ξενίζεται παρά τινι σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν. οὗτος λαλήσει σοι, τί σε δεῖ ποιεῖν. ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ.

καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν ἰόππην. Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι, περὶ ὥραν ἕκτην. Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι. παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις. καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν. ἀναστὰς πέτρε, θῦσον καὶ φάγε. ὁ δὲ πέτρος εἶπε. μηδαμῶς κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν. ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ πέτρος, τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ σίμων ὁ ἐπικαλούμενος πέτρος ἐνθάδε ξενίζεται. τοῦ δὲ πέτρου ἐνθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ πνεῦμα. ἰδοὺ ἄνδρες ζητοῦσί σε, ἀλλὰ ἀναστὰς κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς.

Καταβὰς δὲ πέτρος πρὸς τοὺς ἄνδρας, τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ κορνηλίου πρὸς αὐτόν, εἶπεν. ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε. τίς ἡ αἰτία δι' ἣν πάρεστε; οἱ δὲ εἶπον. Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν θεόν, καὶ μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου, μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. εἰσκαλεσάμενος

οὖν



οὖν αὐτούς, ἐξένισε. Τῇ δὲ ἐπαύριον ὁ πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες ἀδελφῶν τῶν ἀπὸ ἰόππης συνῆλθον αὐτῷ. καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν καισάρειαν. ὁ δὲ κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν πέτρον, συναντήσας αὐτῷ ὁ κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. ὁ δὲ πέτρος αὐτὸν ἤγειρε, λέγων. Ἀνάστηθι, κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι. καὶ συνομιλῶν αὐτῷ, εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς, ἔφη τε πρὸς αὐτούς. ὑμεῖς ἐπίστασθε, ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. καὶ ἐμοὶ ὁ θεὸς ἔδειξε, μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον, διὸ καὶ ἀναντιῤῥήτως ἦλθον μεταπεμφθείς. πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με; καὶ ὁ κορνήλιος ἔφη, ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου, καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ, καὶ φησί. Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχή, καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ θεοῦ. πέμψον οὖν εἰς ἰόππην, καὶ μετακάλεσαι σίμωνα, ὃς ἐπικαλεῖται πέτρος. οὗτος ξενίζεται ἐν οἰκίᾳ σίμωνος βυρσέως παρὰ θάλασσαν, ὃς παραγενόμενος λαλήσει σοι. ἐξαυτῆς οὖν ἔπεμψα πρός σε, σύ τε καλῶς ἐποίησας παραγενόμενος. Νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ θεοῦ πάρεσμεν, ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ θεοῦ. Ἀνοίξας δὲ πέτρος τὸ στόμα, εἶπεν. ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ θεός. ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ, οὗτός ἐστι πάντων κύριος, ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα

μα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης, Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ, ὡς ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ θεὸς ἦν μετ' αὐτοῦ. καὶ ἡμεῖς ἐσμὲν μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἱερουσαλήμ, ὃν ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου. τοῦτον ὁ θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ θεοῦ ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ, μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι. ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν. ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί, ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται. ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν θεόν. τότε ἀπεκρίθη ὁ Πέτρος. μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον καθὼς καὶ ἡμεῖς; προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ κυρίου. τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

Κεφαλ. ια.

XI Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ θεοῦ. καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, λέγοντες, ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς. Ἀρξάμενος δὲ ὁ Πέτρος, ἐξετί-



θετο αὐτοῖς καθεξῆς, λέγων. ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ. εἰς ἣν ἀτενίσας, κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. ἤκουσα δὲ φωνῆς λεγούσης μοι. ἀναστὰς Πέτρε, θῦσον, καὶ φάγε. εἶπον δὲ, μηδαμῶς κύριε, ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. ἀπεκρίθη δέ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ. ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν. Καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. εἶπε δέ μοι τὸ πνεῦμα, συνελθεῖν αὐτοῖς, μηδὲν διακρινόμενον. ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός. ἀπήγγειλέ τε ἡμῖν, πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ, σταθέντα καὶ εἰπόντα αὐτῷ. ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, ὃς λαλήσει ῥήματα πρὸς σέ, ἐν οἷς σωθήσῃ σὺ, καὶ πᾶς ὁ οἶκός σου. ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ. ἐμνήσθην δὲ τοῦ ῥήματος κυρίου ὡς ἔλεγεν, Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ. εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ θεὸς, ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν. ἐγὼ δὲ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν θεόν; ἀκούσαντες δὲ ταῦτα, ἡσύχασαν, καὶ ἐδόξαζον τὸν θεὸν, λέγοντες. ἄρα καὶ τοῖς ἔθνεσιν ὁ θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν. οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον

εἰ μὴ μόνον ἰουδαίοις. ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες κύπρι-
οι καὶ κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς ἀντιόχειαν, ἐλάλουν
πρὸς τοὺς ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν κύριον Ἰησοῦν. καὶ
ἦν χεὶρ κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπ-
έστρεψεν ἐπὶ τὸν κύριον. ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησί-
ας, τῆς ἐν ἱεροσολύμοις, περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν βαρνά-
βαν διελθεῖν ἕως ἀντιοχείας. ὃς παραγενόμενος, καὶ ἰδὼν
τὴν χάριν τοῦ θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας, τῇ προθέσει
τῆς καρδίας προσμένειν τῷ κυρίῳ. ὅτι ἦν ἀνὴρ ἀγαθός, καὶ
πλήρης πνεύματος ἁγίου καὶ πίστεως. καὶ προσετέθη ὄχλος ἱκα-
νὸς τῷ κυρίῳ. ἐξῆλθε δὲ εἰς ταρσὸν ὁ βαρνάβας, ἀναζητῆσαι
σαῦλον. καὶ εὑρὼν αὐτόν, ἤγαγεν αὐτὸν εἰς ἀντιόχειαν, ἐγέ-
νετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι τῇ ἐκκλησίᾳ, καὶ δι-
δάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν ἀντιοχείᾳ τοὺς
μαθητὰς χριστιανούς. ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον
ἀπὸ ἱεροσολύμων προφῆται εἰς ἀντιόχειαν. ἀναστὰς δὲ εἷς ἐξ αὐ-
τῶν ὀνόματι ἄγαβος, ἐσήμανε διὰ τοῦ πνεύματος, λιμὸν μέ-
γαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην. ὅστις καὶ ἐγένε-
το ἐπὶ κλαυδίου καίσαρος. τῶν δὲ μαθητῶν καθὼς ηὐπορεῖτό τις,
ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν
ἐν τῇ ἰουδαίᾳ ἀδελφοῖς, ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς
τοὺς πρεσβυτέρους, διὰ χειρὸς βαρνάβα καὶ σαύλου. Κεφ.
XII ιβ. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν ἡρώδης ὁ βασιλεὺς
τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. ἀνεῖλε δὲ
ἰάκωβον τὸν ἀδελφὸν ἰωάννου μαχαίρᾳ. καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι
τοῖς ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ πέτρον. ἦσαν δὲ ἡμέ-
ραι τῶν ἀζύμων. ὃν καὶ πιάσας, ἔθετο εἰς φυλακήν, παραδοὺς
τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος
μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. ὁ μὲν οὖν πέτρος



ἐτηρεῖτο ἐν τῇ φυλακῇ. προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ
τῆς ἐκκλησίας πρὸς τὸν θεὸν ὑπὲρ αὐτοῦ. ὅτε δὲ ἔμελλεν αὐτὸν
προάγειν ὁ ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ πέτρος κοιμώμενος
μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί, φύλακές
τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. καὶ ἰδού, ἄγγελος κυ-
ρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι. πατάξας δὲ
τὴν πλευρὰν τοῦ πέτρου, ἤγειρεν αὐτόν, λέγων. ἀνάστα ἐν τάχει.
καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. εἶπέ τε ὁ ἄγγε-
λος πρὸς αὐτόν. περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου.
ἐποίησε δὲ οὕτως. καὶ λέγει αὐτῷ, περιβαλοῦ τὸ ἱμάτιόν σου,
καὶ ἀκολούθει μοι. καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ. καὶ οὐκ ᾔδει,
ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου. ἐδόκει δὲ ὅραμα
βλέπειν. διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλ-
θον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν πόλιν,
ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς. καὶ ἐξελθόντες προσῆλθον
ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ. καὶ ὁ πέ-
τρος γενόμενος ἐν ἑαυτῷ, εἶπε. Νῦν οἶδα ἀληθῶς, ὅτι ἐξα-
πέστειλε κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς ἡ-
ρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν ἰουδαίων. Συνι-
δών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν μαρίας, τῆς μητρὸς ἰωάννου τοῦ ἐπικα-
λουμένου μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευ-
χόμενοι. κρούσαντος δὲ τοῦ πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλ-
θε παιδίσκη ὑπακοῦσαι, ὀνόματι ῥόδη, καὶ ἐπιγνοῦσα τὴν φω-
νὴν τοῦ πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα, εἰσδραμοῦ-
σα δὲ ἀπήγγειλεν ἑστάναι τὸν πέτρον πρὸ τοῦ πυλῶνος. οἱ δὲ πρὸς
αὐτὴν εἶπον. μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. οἱ δὲ ἔλε-
γον. ὁ ἄγγελος αὐτοῦ ἐστιν. ὁ δὲ πέτρος ἐπέμενε κρούων. ἀνοί-
ξαντες δὲ εἶδον αὐτόν, καὶ ἐξέστησαν. κατασείσας δὲ αὐτοῖς
τῇ χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς, πῶς ὁ κύριος αὐτὸν ἐξήγα-

γεν ἐκ τῆς φυλακῆς. εἶπε δέ· ἀπαγγείλατε ἰακώβῳ καὶ τοῖς ἀ-
δελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. Γε-
νομένης δὲ ἡμέρας, ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώ-
ταις, τί ἄρα ὁ πέτρος ἐγένετο. ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν,
καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας, ἐκέλευσεν ἀπαχθῆ-
ναι, καὶ κατελθὼν ἀπὸ τῆς ἰουδαίας εἰς τὴν καισάρειαν διέτρι-
βεν. ἦν δὲ ὁ ἡρώδης θυμομαχῶν τυρίοις καὶ σιδωνίοις. ὁμοθυ-
μαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες βλάστον τὸν ἐπὶ τοῦ
κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην, διὰ τὸ τρέφεσθαι αὐτῶν
τὴν χώραν ἀπὸ τῆς βασιλικῆς. Τακτῇ δὲ ἡμέρᾳ ὁ ἡρώδης ἐνδυ-
σάμενος ἐσθῆτα βασιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδη-
μηγόρει πρὸς αὐτούς. ὁ δὲ δῆμος ἐπεφώνει, θεοῦ φωνὴ, καὶ οὐκ
ἀνθρώπου. παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου, ἀνθ'
ὧν οὐκ ἔδωκε δόξαν τῷ θεῷ, καὶ γενόμενος σκωληκόβρωτος,
ἐξέψυξεν. ὁ δὲ λόγος τοῦ θεοῦ ηὔξανε καὶ ἐπληθύνετο. Βαρνάβας
δὲ καὶ παῦλος ὑπέστρεψαν εἰς ἱερουσαλὴμ, πληρώσαντες τὴν
διακονίαν, συμπαραλαβόντες καὶ ἰωάννην, τὸν ἐπικληθέντα
XIII μάρκον. Κεφ. ιγ. Ἦσαν δέ τινες ἐν ἀντιοχείᾳ κατὰ
τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ, τε βαρνά-
βας καὶ σίμων καλούμενος νίγερ, καὶ λούκιος ὁ κυρηναῖος, μα-
ναήν τε ἡρώδου τοῦ τετράρχου σύντροφος, σαῦλος. Λειτουργούν-
των δὲ αὐτῶν τῷ κυρίῳ, νηστευόντων, εἶπε τὸ πνεῦμα τὸ ἅγιον.
ἀφορίσατε δή μοι τὸν βαρνάβαν, καὶ τὸν σαῦλον εἰς τὸ ἔργον ὃ
προσκέκλημαι αὐτούς. Τότε νηστεύσαντες καὶ προσευξάμενοι,
καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, ἀπέλυσαν, οὗτοι μὲν οὖν
ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς τὴν
σελεύκειαν. ἐκεῖθεν δὲ ἀπέπλευσαν εἰς τὴν κύπρον. καὶ γε-
νόμενοι ἐν σαλαμῖνι, κατήγγελον τὸν λόγον τοῦ θεοῦ ἐν ταῖς συ-
ναγωγαῖς τῶν ἰουδαίων, εἶχον δὲ καὶ ἰωάννην ὑπηρέτην. Διελ-



θόντες δὲ τὴν νῆσον ἄχρι πάφου, εὗρόν τινα μάγον ψευδοπρο-
φήτην ἰουδαῖον, ᾧ ὄνομα βαριησοῦ, ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ
σεργίῳ παύλῳ ἀνδρὶ συνετῷ. οὗτος προσκαλεσάμενος βαρ-
νάβαν καὶ σαῦλον, ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ. ἀνθί-
στατο δὲ αὐτοῖς ἐλύμας ὁ μάγος, οὕτως γὰρ μεθερμηνεύεται τὸ
ὄνομα αὐτοῦ, ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως.
σαῦλος δὲ ὁ καὶ παῦλος, πλησθεὶς πνεύματος ἁγίου, καὶ ἀ-
τενίσας εἰς αὐτὸν, εἶπεν, ὦ πλήρης παντὸς δόλου καὶ πάσης
ῥᾳδιουργίας υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ
παύσῃ διαστρέφων τὰς ὁδοὺς κυρίου τὰς εὐθείας. καὶ νῦν ἰ-
δοὺ χεὶρ τοῦ κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλι-
ον ἄχρι καιροῦ. παραχρῆμα δὲ ἐπέπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ
σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς. Τότε ἰδὼν ὁ ἀν-
θύπατος τὸ γεγονὸς, ἐπίστευσεν, ἐκπληττόμενος ἐπὶ τῇ διδα-
χῇ τοῦ κυρίου. ἀναχθέντες δὲ ἀπὸ τῆς πάφου οἱ περὶ τὸν παῦλον, ἦλ-
θον εἰς πέργην τῆς παμφυλίας. ἰωάννης δὲ ἀποχωρήσας ἀπ'
αὐτῶν, ὑπέστρεψεν εἰς ἱεροσόλυμα. αὐτοὶ δὲ διελθόντες, ἀπὸ
τῆς πέργης παρεγένοντο εἰς ἀντιόχειαν τῆς πισιδίας, καὶ εἰσελ-
θόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων, ἐκάθι-
σαν. μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν
οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς, λέγοντες· ἄνδρες ἀδελφοὶ,
εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαὸν, λέγετε.
Ἀναστὰς δὲ παῦλος καὶ κατασείσας τῇ χειρὶ, εἶπεν. ἄνδρες
ἰσραηλῖται, καὶ οἱ φοβούμενοι τὸν θεὸν, ἀκούσατε. ὁ θεὸς τοῦ
λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν. καὶ τὸν λαὸν ὕψω-
σεν ἐν τῇ παροικίᾳ ἐν γῇ αἰγύπτῳ. καὶ μετὰ βραχίονος ὑψη-
λοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς, καὶ ὡς τεσσαρακονταετῆ χρό-
νον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. καὶ καθελὼν ἔθνη ἑπτὰ
ἐν γῇ χαναὰν, κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν.

καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα, ἔδω-
κε κριτάς, ἕως σαμουὴλ τοῦ προφήτου. κἀκεῖθεν ᾐτήσαντο βασι-
λέα, καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς τὸν σαοὺλ υἱὸν κίς, ἄνδρα ἐκ φυ-
λῆς βενιαμήν, ἔτη τεσσαράκοντα. καὶ μεταστήσας αὐτὸν ἤγει-
ρεν αὐτοῖς τὸν δαβὶδ εἰς βασιλέα, ᾧ καὶ εἶπε μαρτυρήσας, εὗ-
ρον δαβὶδ τὸν τοῦ ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποι-
ήσει πάντα τὰ θελήματά μου. τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρματος
κατ' ἐπαγγελίαν ἤγαγε τῷ ἰσραὴλ σωτῆρα Ἰησοῦν, προκηρύ-
ξαντος ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετα-
νοίας τῷ ἰσραήλ. Ὡς δὲ ἐπλήρου ὁ ἰωάννης τὸν δρόμον, ἔλε-
γε. τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ, ἀλλ' ἰδοὺ ἔρχεται
μετ' ἐμέ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. ἄν-
δρες ἀδελφοί, υἱοὶ γένους ἀβραάμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι
τὸν θεόν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. οἱ γὰρ κα-
τοικοῦντες ἐν ἱερουσαλήμ, καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀ-
γνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν, τὰς κατὰ πᾶν σάβ-
βατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν, καὶ μηδεμί-
αν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο πιλᾶτον ἀναιρεθῆναι
αὐτόν. ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα,
καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. ὁ δὲ θεὸς ἤ-
γειρεν αὐτὸν ἐκ νεκρῶν, ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συ-
ναναβᾶσιν αὐτῷ ἀπὸ τῆς γαλιλαίας εἰς ἱερουσαλήμ. οἵτινές
εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν, καὶ ἡμεῖς ὑμᾶς εὐαγγε-
λιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅ-
τι ταύτην ὁ θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀ-
ναστήσας Ἰησοῦν, ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ πρώτῳ γέγραπ-
ται. υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. ὅτι δὲ ἀνέ-
στησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς δια-
φθοράν, οὕτως εἴρηκεν. ὅτι δώσω ὑμῖν τὰ ὅσια δαβὶδ τὰ πι-



στά. διὸ καὶ ἐν ἑτέρῳ λέγει. οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν δια-
φθοράν. δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας, τῇ τοῦ θεοῦ βου-
λῇ ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶ-
δε διαφθοράν. ὃν δὲ ὁ θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. γνω-
στὸν οὖν ἔστω ὑμῖν ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις
ἁμαρτιῶν καταγγέλλεται καὶ ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε
ἐν τῷ νόμῳ μωσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων
δικαιοῦται. Βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς, τὸ εἰρημένον
ἐν τοῖς προφήταις. ἴδετε οἱ καταφρονηταί, καὶ θαυμάσατε,
καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑ-
μῶν. ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. ἐξιόντων
δὲ ἐκ τῆς συναγωγῆς, τῶν ἰουδαίων, παρεκάλουν τὰ ἔθνη, εἰς τὸ
μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα. λυθείσης δὲ τῆς
συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν ἰουδαίων καὶ τῶν σεβο-
μένων προσηλύτων τῷ παύλῳ καὶ τῷ βαρνάβᾳ. οἵτινες προσ-
λαλοῦντες ἔπειθον αὐτοὺς ἐπιμένειν τῇ χάριτι τοῦ θεοῦ. Τῷ τε
ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦ-
σαι τὸν λόγον τοῦ θεοῦ. ἰδόντες δὲ οἱ ἰουδαῖοι τοὺς ὄχλους,
ἐπλήσθησαν ζήλου καὶ ἀντέλεγον, τοῖς ὑπὸ τοῦ παύλου λεγομέ-
νοις ἀντιλέγοντες καὶ βλασφημοῦντες. παρρησιασάμενοι δὲ
ὁ παῦλος καὶ ὁ βαρνάβας, εἶπον, ὑμῖν ἦν ἀναγκαῖον πρῶτον
λαληθῆναι τὸν λόγον τοῦ θεοῦ, ἐπειδὴ δὲ ἀπωθεῖτε αὐτόν, καὶ οὐκ
ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς
τὰ ἔθνη. οὕτως γὰρ ἐντέταλται ἡμῖν ὁ κύριος. τέθεικά σε εἰς
φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. ἀκού-
οντα δὲ τὰ ἔθνη, ἔχαιρε, καὶ ἐδόξαζον τὸν λόγον τοῦ κυρίου, καὶ
ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. Διεφέρε-
το δὲ ὁ λόγος τοῦ κυρίου δι' ὅλης τῆς χώρας. οἱ δὲ ἰουδαῖοι παρώ-
τρυναν τὰς σεβομένας γυναῖκας καὶ τὰς εὐσχήμονας, καὶ τοὺς

πρώτους τῆς πόλεως. καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν παῦλον καὶ
τὸν βαρνάβαν. καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. οἱ δὲ ἐκ
τιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπ' αὐτοὺς, ἦλθον εἰς
ἰκόνιον. οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου.
XIIII Κεφ. ιδ. Ἐγένετο δὲ ἐν ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐ
τοὺς εἰς τὴν συναγωγὴν τῶν ἰουδαίων, καὶ λαλῆσαι οὕτως, ὥσ
τε πιστεῦσαι ἰουδαίων τε καὶ ἑλλήνων πολὺ πλῆθος. οἱ δὲ ἀπειθοῦν
τες ἰουδαῖοι, ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν
κατὰ τῶν ἀδελφῶν. ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παῤῥη
σιαζόμενοι ἐπὶ τῷ κυρίῳ, τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάρι
τος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐ
τῶν. ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως, καὶ οἱ μὲν ἦσαν σὺν τοῖς
ἰουδαίοις, οἱ δὲ σὺν τοῖς ἀποστόλοις. ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθ
νῶν τε καὶ ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι καὶ λι
θοβολῆσαι αὐτοὺς, συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς
λυκαονίας λύστραν καὶ δέρβην, καὶ τὴν περίχωρον. κἀκεῖ ἦσαν
εὐαγγελιζόμενοι. Καί τις ἀνὴρ ἐν λύστροις ἀδύνατος τοῖς πο
σὶν ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐ
δέποτε περιεπεπατήκει. οὗτος ἤκουε τοῦ παύλου λαλοῦντος. ὃς
ἀτενίσας αὐτῷ καὶ ἰδὼν, ὅτι πίστιν ἔχει τοῦ σωθῆναι, εἶπε με
γάλῃ τῇ φωνῇ. Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός. καὶ ἥλλετο καὶ
περιεπάτει. οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν ὁ παῦλος, ἐπῆραν
τὴν φωνὴν αὐτῶν λυκαονιστὶ, λέγοντες οἱ θεοὶ ὁμοιωθέντες ἀν
θρώποις κατέβησαν πρὸς ἡμᾶς. ἐκάλουν τε τὸν μὲν βαρνά
βαν, δία, τὸν δὲ παῦλον, ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος
τοῦ λόγου. Ὁ δὲ ἱερεὺς τοῦ διὸς, τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν,
ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄ
χλοις ἤθελε θύειν, ἀκούσαντες δὲ οἱ ἀπόστολοι βαρνάβας καὶ
παῦλος, διαῤῥήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν



ὄχλον, κράζοντες καὶ λέγοντες. ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ
ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑ
μᾶς, ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν θεὸν τὸν ζῶν
τα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ
πάντα τὰ ἐν αὐτοῖς, ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴα
σε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. καίτοιγε οὐκ
ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς
διδοὺς, καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐ
φροσύνης τὰς καρδίας ἡμῶν. καὶ ταῦτα λέγοντες, μόλις κα
τέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς. Ἐπῆλθον δὲ ἀπὸ ἀντι
οχείας καὶ ἰκονίου ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λι
θάσαντες τὸν παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐ
τὸν τεθνάναι. κυκλωσάντων δὲ αὐτὸν τῶν μαθητῶν, ἀναστὰς
εἰσῆλθεν εἰς τὴν πόλιν. καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ βαρ
νάβᾳ εἰς δέρβην. εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ
μαθητεύσαντες ἱκανοὺς, ὑπέστρεψαν εἰς τὴν λύστραν καὶ ἰκό
νιον καὶ ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν,
καὶ παρακαλοῦντες ἐμμένειν τῇ πίστει καὶ ὅτι διὰ πολλῶν θλί
ψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Χειρο
τονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσ
ευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ κυρίῳ εἰς ὃν
πεπιστεύκεισαν. καὶ διελθόντες τὴν πισιδίαν, ἦλθον εἰς παμ
φυλίαν. καὶ λαλήσαντες ἐν πέργῃ τὸν λόγον, κατέβησαν εἰς
ἀττάλειαν. κἀκεῖθεν ἀπέπλευσαν εἰς ἀντιόχειαν, ὅθεν ἦσαν
παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν.
παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγει
λαν ὅσα ἐποίησεν ὁ θεὸς μετ' αὐτῶν. καὶ ὅτι ἤνοιξε τοῖς ἔ
θνεσι θύραν πίστεως. διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν
τοῖς μαθηταῖς. Κεφάλαιον ιε. Καί τινες κατελθόντες XV

τες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφούς, ὅτι ἐὰν μὴ
περιτέμνησθε τῷ ἔθει Μωσέως, οὐ δύνασθε σωθῆναι. γενομέ-
νης οὖν στάσεως καὶ συζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ
Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνά-
βαν, καί τινας ἄλλους ἐξ αὐτῶν, πρὸς τοὺς ἀποστόλους καὶ πρε-
σβυτέρους Ἱερουσαλήμ, περὶ τοῦ ζητήματος τούτου. Οἱ μὲν οὖν
προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην
καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν. καὶ
ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς. παραγενόμε-
νοι δὲ εἰς Ἱερουσαλήμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ
τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων ἀνήγγειλάν τε ὅσα ὁ θε-
ὸς ἐποίησε μετ' αὐτῶν. Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς
αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότων, λέγοντες. ὅτι
δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μω-
σέως. Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν
περὶ τοῦ λόγου τούτου. πολλῆς δὲ συζητήσεως γενομένης, ἀνα-
στὰς Πέτρος εἶπε πρὸς αὐτούς. Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστα-
σθε, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ θεὸς ἐν ἡμῖν ἐξελέξατο, διὰ
τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου, καὶ
πιστεῦσαι. καὶ ὁ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς,
δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν. καὶ οὐδὲν
διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς
καρδίας αὐτῶν. Νῦν οὖν τί πειράζετε τὸν θεόν, ἐπιθεῖναι ζυγὸν
ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡ-
μεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου Ἰησοῦ
Χριστοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι. Ἐσίγησε δὲ
πᾶν τὸ πλῆθος. καὶ ἤκουον Βαρνάβα καὶ Παύλου, ἐξηγουμένων
ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσι δι' αὐ-
τῶν. Μετὰ δὲ τὸ σιγῆσαι αὐτούς, ἀπεκρίθη Ἰάκωβος, λέγων.
Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο, καθὼς
πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν ἐπὶ τῷ ὀνόμα-
τι αὐτοῦ, καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς
γέγραπται. Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν
σκηνὴν Δαβὶδ, τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς
ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτήν, ὅπως ἂν ἐκζητήσωσιν
οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον, καὶ πάντα τὰ ἔθνη ἐφ'
οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος, ὁ ποιῶν
ταῦτα πάντα. Γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ θεῷ πάντα τὰ ἔργα
αὐτοῦ. Διὸ ἐγὼ κρίνω, μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπι-
στρέφουσιν ἐπὶ τὸν θεόν, ἀλλὰ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν
ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ πνικτοῦ, καὶ τοῦ
αἵματος. Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κη-
ρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββα-
τον ἀναγινωσκόμενος. τότε ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς
πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ
αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ. Ἰούδαν
τὸν ἐπικαλούμενον Βαρσαβᾶν, καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν
τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε. Οἱ ἀπόστο-
λοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοί, τοῖς κατὰ τὴν Ἀντιόχειαν
καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν, χαίρειν. Ἐπει-
δὴ ἠκούσαμεν, ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες, ἐτάραξαν ὑμᾶς
λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέ-
μνεσθαι, καὶ τηρεῖν τὸν νόμον, οἷς οὐ διεστειλάμεθα. ἔδοξεν ἡμῖν
γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς
ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώ-
ποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυ-
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν,
καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. Ἔδοξε γὰρ τῷ

ἁγίῳ πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βά-
ρος, πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι εἰδωλοθύτων
καὶ αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας, ἐξ ὧν διατηροῦντες
ἑαυτοὺς, εὖ πράξετε. ἔῤῥωσθε. οἱ μὲν οὖν ἀπολυθέντες, ἦλ-
θον εἰς ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν
τὴν ἐπιστολήν. ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει.
ἰούδας τε καὶ σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολ-
λοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς, καὶ ἐπεστήριξαν. ποιήσαντες
δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς
τοὺς ἀποστόλους. Ἔδοξε δὲ τῷ σίλᾳ ἐπιμεῖναι αὐτοῦ. Παῦλος
δὲ καὶ βαρνάβας διέτριβον ἐν ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐ-
αγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ κυρίου. μετὰ
δέ τινας ἡμέρας εἶπε παῦλος πρὸς βαρνάβαν. ἐπιστρέψαν-
τες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πό-
λιν. ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ κυρίου, πῶς ἔχουσι. Βαρ-
νάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν τὸν ἰωάννην, τὸν κα-
λούμενον μάρκον. Παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ' αὐ-
τῶν ἀπὸ παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον,
μὴ συμπαραλαβεῖν τοῦτον. ἐγένετο οὖν παροξυσμὸς, ὥστε ἀ-
ποχωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε βαρνάβαν παρα-
λαβόντα τὸν μάρκον ἐκπλεῦσαι εἰς κύπρον. Παῦλος δὲ ἐπι-
λεξάμενος σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ θεοῦ ὑ-
πὸ τῶν ἀδελφῶν, διήρχετο δὲ τὴν συρίαν καὶ κιλικίαν ἐπιστη-
XVI ρίζων τὰς ἐκκλησίας. Κεφαλ. ις. Κατήντησε δὲ εἰς
δέρβην καὶ λύστραν, καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ, ὀνόματι τι-
μόθεος, υἱὸς γυναικός τινος ἰουδαίας πιστῆς, πατρὸς δὲ ἕλλη-
νος. ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν λύστροις καὶ ἰκονίῳ ἀδελφῶν. τοῦ-
τον ἠθέλησεν ὁ παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτε-
μεν αὐτὸν διὰ τοὺς ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις.



ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι ἕλλην ὑπῆρχεν. ὡς
δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν
τὰ δόγματα, τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσ-
βυτέρων τῶν ἐν ἱερουσαλήμ. αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦν-
το τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. διελθόν-
τες δὲ τὴν φρυγίαν καὶ τὴν γαλατικὴν χώραν, κωλυθέντες
ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ ἀσίᾳ, ἐλ-
θόντες κατὰ τὴν μυσίαν. ἐπείραζον κατὰ τὴν βιθυνίαν πο-
ρεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. παρελθόντες δὲ
τὴν μυσίαν, κατέβησαν εἰς τρῳάδα. καὶ ὅραμα διὰ τῆς
νυκτὸς ὤφθη τῷ παύλῳ. Ἀνήρ τις ἦν μακεδὼν ἑστὼς, πα-
ρακαλῶν αὐτὸν, καὶ λέγων, διαβὰς εἰς μακεδονίαν, βοήθησον
ἡμῖν. ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν
μακεδονίαν, συμβιβάζοντες, ὅτι προσκέκληται ἡμᾶς ὁ κύρι-
ος εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέντες οὖν ἀπὸ τῆς τρῳάδος, εὐ-
θυδρομήσαμεν εἰς σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ εἰς νεάπολιν,
ἐκεῖθέν τε εἰς φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς μακε-
δονίας πόλις, κολώνια. ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες
ἡμέρας τινάς, τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πό-
λεως παρὰ ποταμὸν, οὗ ἐνομίζετο προσευχὴ εἶναι, καὶ καθίσαν-
τες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. Καί τις γυνὴ ὀ-
νόματι λυδία πορφυρόπωλις πόλεως θυατείρων, σεβομένη
τὸν θεὸν, ἤκουσεν, ἧς ὁ κύριος διήνοιξε τὴν καρδίαν προσέ-
χειν τοῖς λαλουμένοις ὑπὸ τοῦ παύλου, ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶ-
κος αὐτῆς, παρεκάλεσε λέγουσα. εἰ κεκρίκατέ με πιστὴν τῷ
κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε, καὶ παρεβιά-
σατο ἡμᾶς. Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς προσευχὴν, παι-
δίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνος, ἀπαντῆσαι ἡμῖν, ἥτις
ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη.

αὕτη κατακολουθήσασα τῷ παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν· οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. τοῦτο δὲ ἐποίει ἐπὶ πολλὰς ἡμέρας. διαπονηθεὶς δὲ ὁ παῦλος καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε· παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ' αὐτῆς· καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. ἰδόντες δὲ οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν παῦλον καὶ τὸν σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, ῥωμαίοις οὖσι. καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν· καὶ οἱ στρατηγοὶ περιρρήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν· πολλάς τε ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ δεσμοφύλακι, ἀσφαλῶς τηρεῖν αὐτούς· ὃς παραγγελίαν τοιαύτην εἰληφώς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. Κατὰ δὲ τὸ μεσονύκτιον παῦλος καὶ σίλας προσευχόμενοι ὕμνουν τὸν θεόν. ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου. ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους. ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ παῦλος, λέγων, μηδὲν πράξῃς σεαυτῷ κακόν, ἅπαντες γάρ ἐσμεν ἐνθάδε. αἰτήσας δὲ φῶτα, εἰσεπήδησε, Καὶ ἔντρομος γενόμενος προσέπεσε τῷ παύλῳ καὶ τῷ σίλᾳ. καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ. οἱ δὲ εἶπον·

πίστευσον



πίστευσον ἐπὶ τὸν κύριον Ἰησοῦν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτός, ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτός, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιᾶτο, πανοικὶ πεπιστευκὼς τῷ θεῷ. Ἡμέρας δὲ γενομένης, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους, λέγοντες· ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους. Ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν παῦλον, ὅτι ἀπεστάλκασιν οἱ στρατηγοί, ἵνα ἀπολυθῆτε, νῦν οὖν ἐξελθόντες, πορεύεσθε ἐν εἰρήνῃ. Ὁ δὲ παῦλος ἔφη πρὸς αὐτούς, δείραντες ἡμᾶς δημοσίᾳ, ἀκατακρίτους, ἀνθρώπους ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν, καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ, ἀλλὰ ἐλθόντες αὐτοὶ ἐξαγαγέτωσαν. ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα. καὶ ἐφοβήθησαν, ἀκούσαντες ὅτι ῥωμαῖοί εἰσι. καὶ ἐλθόντες παρεκάλεσαν αὐτούς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως. ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς, εἰσῆλθον εἰς τὴν λυδίαν. καὶ ἰδόντες τοὺς ἀδελφοὺς παρεκάλεσαν αὐτούς,
καὶ ἐξῆλθον. Κεφ. ιζ. Διοδεύσαντες δὲ τὴν ἀμφίπο- XVII
λιν καὶ ἀπολλωνίαν, ἦλθον εἰς θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν ἰουδαίων. Κατὰ δὲ τὸ εἰωθὸς τῷ παύλῳ, εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν. Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ παύλῳ καὶ τῷ σίλᾳ, τῶν τε σεβομένων ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι. ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες ἰουδαῖοι, καὶ προσ-

λαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηρούς, καὶ ὀχλο-
ποιήσαντες, ἐθορύβουν τὴν πόλιν, ἐπιστάντες τε τῇ οἰκίᾳ ἰά-
σονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον. μὴ εὑρόντες
δὲ αὐτούς, ἔσυρον τὸν ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πο-
λιτάρχας, βοῶντες· ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες
οὗτοι, καὶ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδεκται ἰάσων. καὶ οὗ-
τοι πάντες ἀπέναντι τῶν δογμάτων καίσαρος πράττουσι, βα-
σιλέα λέγοντες ἕτερον εἶναι, ἰησοῦν. ἐτάραξαν δὲ τὸν ὄχλον
καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα. καὶ λαβόντες τὸ ἱκα-
νὸν παρὰ τοῦ ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς. Οἱ
δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε παῦλον
καὶ τὸν σίλαν εἰς βέῤῥοιαν· οἵτινες παραγενόμενοι, εἰς τὴν συ-
ναγωγὴν ἀπῄεσαν τῶν ἰουδαίων. οὗτοι δὲ ἦσαν εὐγενέστεροι
τῶν ἐν θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης
προθυμίας, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφάς, εἰ ἔχοι
ταῦτα οὕτως. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν
ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλί-
γοι. Ως δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς θεσσαλονίκης ἰουδαῖοι, ὅτι καὶ
ἐν τῇ βεῤῥοίᾳ κατηγγέλη ὑπὸ τοῦ παύλου ὁ λόγος τοῦ θεοῦ, ἦλθον,
κἀκεῖ σαλεύοντες τοὺς ὄχλους. εὐθέως δὲ τότε τὸν παῦλον
ἐξαπέστειλαν οἱ ἀδελφοί, πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν· ὑ-
πέμενον δὲ ὅ, τε σίλας καὶ ὁ τιμόθεος ἐκεῖ. οἱ δὲ καθιστῶν-
τες τὸν παῦλον, ἤγαγον αὐτὸν ἕως ἀθηνῶν. καὶ λαβόντες ἐν-
τολὴν πρὸς τὸν σίλαν καὶ τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς
αὐτόν, ἐξῄεσαν. Ἐν δὲ ταῖς ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ
παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατεί-
δωλον οὖσαν τὴν πόλιν. διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ
τοῖς ἰουδαίοις καὶ τοῖς σεβομένοις. καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶ-
σαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. τινὲς δὲ τῶν ἐπικου-
ρείων καὶ τῶν στωϊκῶν φιλοσόφων, συνέβαλλον αὐτῷ. καί τι-
νες ἔλεγον· τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ· ξέ-
νων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι, ὅτι τὸν Ἰησοῦν καὶ τὴν
ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν ἄ-
ρειον πάγον ἤγαγον, λέγοντες· Δυνάμεθα γνῶναι, τίς ἡ και-
νὴ αὕτη, ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα γάρ τινα εἰσ-
φέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. βουλόμεθα οὖν γνῶναι, τί ἂν θέ-
λοι ταῦτα εἶναι. ἀθηναῖοι δὲ πάντες, καὶ οἱ ἐπιδημοῦντες ξέ-
νοι, εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινό-
τερον. Σταθεὶς δὲ ὁ παῦλος ἐν μέσῳ τοῦ ἀρείου πάγου, ἔφη· ἄν-
δρες ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεω-
ρῶ. διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗ-
ρον καὶ βωμόν, ἐν ᾧ ἐπεγέγραπτο, ἀγνώστῳ θεῷ. ὃν οὖν ἀγνοοῦν-
τες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὁ θεὸς ὁ ποιή-
σας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς
κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ
ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος· αὐτὸς
διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν κατὰ πάντα. ἐποίησέ τε ἐξ ἑνὸς
αἵματος πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον
τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς
κατοικίας αὐτῶν, ζητεῖν τὸν κύριον, εἰ ἄραγε ψηλαφήσειαν αὐτὸν
καὶ εὕροιεν, καί γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχον-
τα. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ὡς καί τινες τῶν καθ'
ὑμᾶς ποιητῶν εἰρήκασι· τοῦ γὰρ καὶ γένος ἐσμέν. Γένος οὖν ὑπάρ-
χοντες τοῦ θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ, ἢ
λίθῳ χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον
εἶναι ὅμοιον. Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεός,
τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν·
διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δι-

καιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον, ἀκουσόμεθά σου πάλιν περὶ τούτου. καὶ οὕτως ὁ παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ διονύσιος ὁ ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

XVIII Κεφ. ιη. Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ παῦλος ἐκ τῶν ἀθηνῶν, ἦλθεν εἰς κόρινθον, καὶ εὑρών τινα ἰουδαῖον, ὀνόματι ἀκύλαν, ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς ἰταλίας, καὶ πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι κλαύδιον, χωρίζεσθαι πάντας τοὺς ἰουδαίους ἐκ τῆς ῥώμης προσῆλθεν αὐτοῖς, καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ᾽ αὐτοῖς καὶ εἰργάζετο. ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε ἰουδαίους καὶ ἕλληνας. Ὡς δὲ κατῆλθον ἀπὸ τῆς μακεδονίας ὅ, τε σίλας καὶ ὁ τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ παῦλος, διαμαρτυρόμενος τοῖς ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε πρὸς αὐτούς. τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν, καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς, ὀνόματι ἰούστου, σεβομένου τὸν θεὸν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν κορινθίων ἀκούσαντες ἐπίστευον καὶ ἐβαπτίζοντο. εἶπε δὲ ὁ κύριος δι᾽ ὁράματος ἐν νυκτὶ τῷ παύλῳ. μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς, διότι ἐγώ εἰμι μετὰ σοῦ. καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων αὐτοὺς τὸν λόγον τοῦ θεοῦ. Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ ἰουδαῖοι τῷ παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα, λέγοντες. ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν θεόν. μέλλοντος δὲ τοῦ παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ γαλλίων πρὸς τοὺς ἰουδαίους. εἰ μὲν οὖν ἦν ἀδίκημά τι, ἢ ῥᾳδιούργημα πονηρὸν, ὦ ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν, εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ᾽ ὑμᾶς, ὄψεσθε αὐτοί. κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος. Ἐπιλαβόμενοι δὲ πάντες οἱ ἕλληνες σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ γαλλίωνι ἔμελεν. ὁ δὲ παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει εἰς τὴν συρίαν, καὶ σὺν αὐτῷ πρίσκιλλα καὶ ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν κεγχρεαῖς. εἶχε γὰρ εὐχήν. κατήντησε δὲ εἰς ἔφεσον, καὶ ἐκείνους κατέλιπεν αὐτοῦ. αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν, διελέχθη τοῖς ἰουδαίοις. Ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ᾽ αὐτοῖς, οὐκ ἐπένευσεν, ἀλλ᾽ ἀπετάξατο αὐτοῖς, εἰπών. δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς ἱεροσόλυμα, πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς ἐφέσου. καὶ κατελθὼν εἰς καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς ἀντιόχειαν. Καὶ ποιήσας χρόνον τινὰ, ἐξῆλθε διερχόμενος καθεξῆς τὴν γαλατικὴν χώραν καὶ φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς. ἰουδαῖος δέ τις ἀπολλῶς ὀνόματι, ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ κυρίου, ἐπιστάμενος μόνον τὸ βά-

πτισμα ἰωάννου. οὗτός τε ἤρξατο παῤῥησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ ἀκύλας καὶ πρίσκιλλα, προσελάβοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ θεοῦ ὁδόν. Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος, συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος. εὐτόνως γὰρ τοῖς ἰουδαίοις διακατηλέγχετο, δημοσίᾳ ἐπιδεικνὺς διὰ τῶν γραφῶν, εἶναι τὸν Χριστὸν Ἰησοῦν.

XIX Κεφ. ιθ. Ἐγένετο δὲ ἐν τῷ τὸν ἀπολλὼ εἶναι ἐν κορίνθῳ, παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς ἔφεσον, καὶ εὑρών τινας μαθητὰς, εἶπε πρὸς αὐτούς. Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν. ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιον ἐστὶν, ἠκούσαμεν. εἶπέ τε πρὸς αὐτούς. Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον. εἰς τὸ ἰωάννου βάπτισμα. εἶπε δὲ παῦλος. ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν, ἵνα πιστεύσωσι, τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον. ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς, διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ. Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ τυράννου τινός. Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν ἀσίαν, ἀκοῦσαι τὸν λόγον τοῦ κυρίου Ἰησοῦ, ἰουδαίους τε καὶ ἕλληνας. Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ θεὸς διὰ τῶν χειρῶν παύλου. ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια, ἢ σιμικίνθια καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους. τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν. ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων ἰουδαίων ἐξορκιστῶν, ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ, τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ, λέγοντες. ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν ὁ παῦλος κηρύσσει. Ἦσαν δέ τινες υἱοὶ σκευᾶ ἰουδαίου ἀρχιερέως ἑπτὰ, οἱ τοῦτο ποιοῦντες. ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπε. τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν παῦλον ἐπίσταμαι, ὑμεῖς δὲ τίνες ἐστέ; καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν ἰουδαίοις τε καὶ ἕλλησι τοῖς κατοικοῦσι τὴν ἔφεσον, καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ. Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι καὶ ἀπαγγέλλοντες τὰς πράξεις αὐτῶν. ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων, συνενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. οὕτως κατὰ κράτος ὁ λόγος τοῦ κυρίου ηὔξανε καὶ ἴσχυεν. Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ παῦλος ἐν τῷ πνεύματι, διελθὼν τὴν μακεδονίαν καὶ ἀχαΐαν, πορεύεσθαι εἰς ἱερουσαλὴμ, εἰπών. ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ ῥώμην ἰδεῖν. ἀποστείλας δὲ εἰς τὴν μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, τιμόθεον καὶ ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν ἀσίαν. Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. δημήτριος γάρ τις ὀνόματι ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς ἀρτέμιδος παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην, οὓς συναθροίσας καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν. ἄνδρες ἐπίστασθε, ὅτι ἐκ

ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι. καὶ θεωρεῖτε καὶ ἀ-
κούετε, ὅτι οὐ μόνον ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς ἀσίας ὁ
παῦλος οὗτος πείσας, μετέστησεν ἱκανὸν ὄχλον, λέγων, ὅτι
οὐκ εἰσὶ θεοί, οἱ διὰ χειρῶν γινόμενοι. οὐ μόνον δὲ τοῦτο κινδυ-
νεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγά-
λης θεᾶς ἀρτέμιδος ἱερὸν εἰς οὐδὲν λογισθῆναι, μέλλειν τε καὶ
καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ ἀσία καὶ ἡ οἰ-
κουμένη σέβεται. ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυ-
μοῦ, ἔκραζον λέγοντες. μεγάλη ἡ ἄρτεμις ἐφεσίων. καὶ ἐπλή-
σθη ἡ πόλις ὅλη τῆς συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν εἰς
τὸ θέατρον, συναρπάσαντες γάϊον καὶ ἀρίσταρχον μακεδό-
νας, συνεκδήμους τοῦ παύλου. Τοῦ δὲ παύλου βουλομένου εἰ-
σελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. τινὲς δὲ καὶ
τῶν ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν,
παρεκάλουν, μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον, ἄλλοι μὲν οὖν
ἄλλο τι ἔκραζον, ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλεί-
ους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν. Ἐκ δὲ τοῦ ὄχλου
προεβίβασαν ἀλέξανδρον προβαλόντων αὐτὸν τῶν ἰουδαίων.
ὁ δὲ ἀλέξανδρος κατασείσας τὴν χεῖρα, ἤθελεν ἀπολογεῖ-
σθαι τῷ δήμῳ, ἐπιγνόντων δὲ ὅτι ἰουδαῖός ἐστι, φωνὴ ἐγέ-
νετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων, μεγάλη ἡ ἄρ-
τεμις ἐφεσίων. Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φη-
σίν. ἄνδρες ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει
τὴν ἐφεσίων πόλιν, νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς ἀρτέμι-
δος καὶ τοῦ διοπετοῦς. ἀναντιῤῥήτων οὖν ὄντων τούτων, δέον
ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς
πράσσειν. ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους,
οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν. εἰ μὲν οὖν δημήτριος καὶ
οἱ σὺν αὐτῷ τεχνῖται πρός τινα λόγον ἔχουσιν, ἀγοραῖοι ἄγον-



ται, καὶ ἀνθύπατοί εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις. εἰ δέ τι πε-
ρὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται.
καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μη-
δενὸς αἰτίου ὑπάρχοντος, περὶ οὗ δυνησόμεθα δοῦναι λόγον τῆς
συστροφῆς ταύτης. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν.

Κεφ. κ. Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον, προσκαλε- XX
σάμενος ὁ παῦλος τοὺς μαθητὰς, καὶ ἀσπασάμενος, ἐξῆλθε
πορευθῆναι εἰς τὴν μακεδονίαν. διελθὼν δὲ τὰ μέρη ἐκεῖνα,
καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν ἑλλάδα.
ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν
ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν συρίαν, ἐγένετο γνώμη τοῦ
ὑποστρέφειν διὰ μακεδονίας. συνείπετο δὲ αὐτῷ ἄχρι τῆς ἀσί-
ας σώπατρος βεῤῥοιαῖος, θεσσαλονικέων δὲ ἀρίσταρχος, καὶ σε-
κοῦνδος, καὶ γάϊος δερβαῖος, καὶ τιμόθεος. Ἀσιανοὶ δὲ τυχι-
κὸς καὶ τρόφιμος, οὗτοι προελθόντες, ἔμενον ἡμᾶς ἐν τρωάδι.
ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ φι-
λίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν τρωάδα ἄχρις ἡμε-
ρῶν πέντε. οὗ διετρίψαμεν ἡμέρας ἑπτά. Ἐν δὲ τῇ μιᾷ τῶν σαβ-
βάτων, συνηγμένων τῶν μαθητῶν κλάσαι ἄρτον, ὁ παῦλος δι-
ελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον, παρέτεινέ τε τὸν
λόγον μέχρι μεσονυκτίου, ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ
ὑπερῴῳ οὗ ἦσαν συνηγμένοι. Καθήμενος δέ τις νεανίας ὀνό-
ματι εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, δι-
αλεγομένου τοῦ παύλου ἐπὶ πλεῖον κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου,
ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός. καταβὰς δὲ
ὁ παῦλος, ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβὼν, εἶπε. Μὴ
θορυβεῖσθε, ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. ἀναβὰς δὲ καὶ κλά-
σας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρι αὐ-
γῆς, οὕτως ἐξῆλθεν. ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλή-

σαν οὐ μετρίως. Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν ἄσσον ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν παῦλον. οὕτως γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν. ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν ἄσσον, ἀναλαβόντες αὐτὸν, ἤλθομεν εἰς μιτυλήνην. κἀκεῖθεν ἀποπλεύσαντες, τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ χίου. τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς σάμον, καὶ μείναντες ἐν τρωγυλλίῳ, τῇ ἐρχομένῃ ἤλθομεν εἰς μίλητον. Ἔκρινε γὰρ ὁ παῦλος παραπλεῦσαι τὴν ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ ἀσίᾳ. ἔσπευδε γὰρ εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς ἱεροσόλυμα. ἀπὸ δὲ τῆς μιλήτου πέμψας εἰς ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς. ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας, ἀφ᾽ ἧς ἐπέβην εἰς τὴν ἀσίαν, πῶς μεθ᾽ ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, δουλεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν ἰουδαίων, ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων. τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ᾽ οἴκους, διαμαρτυρόμενος ἰουδαίοις τε καὶ ἕλλησι, τὴν εἰς τὸν θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν. Καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι, πορεύομαι εἰς ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς. πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγων, ὅτι δεσμά με καὶ θλίψεις μένουσιν, ἀλλ᾽ οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὥστε τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ. Καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα, ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου, ὑμεῖς πάντες ἐν οἷς διῆλθον,



κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ. διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. οὐ γὰρ ὑπεστειλάμην ὑμῖν τοῦ μὴ ἀναγγεῖλαι πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ. προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου, καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες, λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾷν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. διὸ γρηγορεῖτε, μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον, καὶ τὰ νῦν παρατίθημι ὑμᾶς ἀδελφοὶ τῷ θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν. ἀργυρίου, ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, αὐτοὶ δὲ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου Ἰησοῦ. ὅτι αὐτὸς εἶπε. μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν. καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ, σὺν πᾶσιν αὐτοῖς προσηύξατο. Ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ παύλου, κατεφίλουν αὐτὸν, ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ, ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν, προέ-
πεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον. Κεφ. κα. Ὡς δὲ ἐγένετο XXI
ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ᾽ αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν κῶ, τῇ δὲ ἑξῆς εἰς τὴν ῥόδον, κἀκεῖθεν εἰς πάταρα. καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς φοινίκην ἐπιβάντες ἀνήχθημεν. ἀναφανέντος δὲ τῆς κύπρου, καὶ καταλι

πόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς συρίαν, καὶ κατήχθημεν εἰς τύρον· ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον. καὶ ἀνευρόντες μαθητάς, ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά. οἵτινες τῷ παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος, μὴ ἀναβαίνειν εἰς ἱερουσαλήμ. ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις, ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσευξάμεθα. καὶ ἀσπασάμενοι ἀλλήλους, ἐπέβημεν εἰς τὸ πλοῖον. ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ τύρου, κατηντήσαμεν εἰς πτολεμαΐδα, καὶ ἀσπασάμενοι τοὺς ἀδελφούς, ἐμείναμεν ἡμέραν μίαν παρ᾽ αὐτοῖς. τῇ δὲ ἐπαύριον ἐξελθόντες οἱ περὶ τὸν παῦλον, ἤλθομεν εἰς καισάρειαν. καὶ εἰσελθόντες εἰς τὸν οἶκον φιλίππου τοῦ εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν παρ᾽ αὐτῷ. τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες, προφητεύουσαι. ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, κατῆλθέ τις ἀπὸ τῆς ἰουδαίας προφήτης, ὀνόματι ἄγαβος. καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ παύλου, δήσας τε αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας, εἶπε· τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτως δήσουσιν ἐν ἱερουσαλὴμ ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν. ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς ἱερουσαλήμ. ἀπεκρίθη τε ὁ παῦλος· τί ποιεῖτε; κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἰησοῦ. μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν, εἰπόντες· τὸ θέλημα τοῦ κυρίου γενέσθω. μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀποσκευασάμενοι, ἀνεβαίνομεν εἰς ἱερουσαλήμ. συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ



καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ᾽ ᾧ ξενισθῶμεν, μνάσωνί τινι κυπρίῳ ἀρχαίῳ μαθητῇ. Γενομένων δὲ ἡμῶν εἰς ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί. τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ παῦλος σὺν ἡμῖν πρὸς ἰάκωβον· πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ᾽ ἓν ἕκαστον, ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνεσι, διὰ τῆς διακονίας αὐτοῦ. οἱ δὲ ἀκούσαντες, ἐδόξαζον τὸν κύριον, εἶπόν τε αὐτῷ· θεωρεῖς ἀδελφέ, πόσαι μυριάδες εἰσὶν ἰουδαίων τῶν πεπιστευκότων; καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι. κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ μωσέως, τοὺς κατὰ τὰ ἔθνη πάντας ἰουδαίους, λέγων, μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν, ἀκούσονται γὰρ ὅτι ἐλήλυθας. τοῦτο οὖν ποίησον, ὅ σοι λέγομεν. εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ᾽ ἑαυτῶν, τούτους παραλαβών, ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ᾽ αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλήν, καὶ γνῶσι πάντες, ὅτι ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυλάσσων. περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες, μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι αὐτούς, τό τε εἰδωλόθυτον καὶ τὸ αἷμα, καὶ πνικτόν, καὶ πορνείαν. Τότε ὁ παῦλος παραλαβὼν τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθείς, εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς ἀσίας ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ᾽ αὐτόν, κράζοντες· ἄνδρες ἰσραηλῖται, βοηθεῖτε. οὗτός ἐστιν ὁ ἄνθρωπος, ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ

νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων, ἔτι
τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερόν, καὶ κεκοίνωκε τὸν ἅγιον
τόπον τοῦτον. ἦσαν γὰρ ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ
πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον, ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦ
λος. ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ.
καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐ
θέως ἐκλείσθησαν αἱ θύραι. Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι
ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρας, ὅτι ὅλη συγκέχυται
Ἱερουσαλήμ. ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρ
χους, κατέδραμεν ἐπ᾽ αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ
τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον. ἐγγίσας δὲ
ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσε
σι δυσί, καὶ ἐπυνθάνετο τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς. ἄλλοι
δὲ ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ. μὴ δυνάμενος δὲ γνῶναι τὸ
ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν πα
ρεμβολήν. ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζε
σθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν, διὰ τὴν βίαν τοῦ ὄχλου, ἠκολούθει γὰρ
τὸ πλῆθος τοῦ λαοῦ, κράζον. αἶρε αὐτόν. μέλλων τε εἰσάγεσθαι
εἰς τὴν παρεμβολὴν ὁ Παῦλος, λέγει τῷ χιλιάρχῳ. εἰ ἔξεστί
μοι εἰπεῖν πρός σε; ὁ δὲ ἔφη. Ἑλληνιστὶ γινώσκεις. οὐκ ἄρα σὺ
εἶ ὁ Αἰγύπτιος, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας, καὶ ἐξαγα
γὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;
εἶπε δὲ Παῦλος. ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος Ταρσεύς,
τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης. δέομαι δέ σου,
ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. ἐπιτρέψαντος δὲ αὐ
τοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ
τῷ λαῷ. πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνει τῇ Ἑβρα
XXII ΐδι διαλέκτῳ, λέγων. Κεφαλ. κβ. Ἄνδρες ἀδελφοὶ
καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας.



ἀκούσαντες δέ, ὅτι Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς,
μᾶλλον παρέσχον ἡσυχίαν. καί φησιν. ἐγὼ μέν εἰμι ἀνὴρ Ἰου
δαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμέ
νος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιήλ, πεπαι
δευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ
θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον, ὃς ταύτην τὴν ὁδὸν
ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς
ἄνδρας τε καὶ γυναῖκας. ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ
πᾶν τὸ πρεσβυτέριον, παρ᾽ ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς
ἀδελφούς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄν
τας δεδεμένους εἰς Ἱερουσαλήμ, ἵνα τιμωρηθῶσιν. ἐγένετο δέ
μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν
ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ, ἔπε
σόν τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα φωνῆς, λεγούσης μοι. Σαοὺλ
Σαούλ, τί με διώκεις; ἐγὼ δὲ ἀπεκρίθην. τίς εἶ κύριε; εἶπέ τε
πρός με. ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. οἱ δὲ
σὺν ἐμοὶ ὄντες, τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο,
τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. εἶπον δέ, τί ποιή
σω κύριε; ὁ δὲ κύριος πρός με. ἀναστὰς πορεύου εἰς Δαμασ
κόν, κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆ
σαι. ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου χειρα
γωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν. Ἀνα
νίας δέ τις, ἀνὴρ εὐσεβής, κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ
πάντων τῶν κατοικούντων Ἰουδαίων, ἐλθὼν πρός με καὶ ἐπιστάς, εἶ
πέ μοι. Σαοὺλ ἀδελφέ, ἀνάβλεψον. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλε
ψα εἰς αὐτόν. ὁ δὲ εἶπεν, ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχειρί
σατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι
φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ, ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάν
τας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας, καὶ νῦν τί μέλλεις;

ἀναςὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικα-
λεσάμενος τὸ ὄνομα τοῦ κυρίου. Ἐγένετο δέ μοι ὑποστρέψαντι
εἰς ἱερουσαλὴμ, καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέ-
σθαι με ἐν ἐκςάσει, καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι. σπεῦσον καὶ
ἔξελθε ἐν τάχει ἐξ ἱερουσαλὴμ, διότι οὐ παραδέξονταί σου
τὴν μαρτυρίαν περὶ ἐμοῦ. κἀγὼ εἶπον. κύριε, αὐτοὶ ἐπίςαν-
ται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγω-
γὰς τοὺς πιστεύοντας ἐπί σε. καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα στεφά-
νου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδο-
κῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων
αὐτόν. καὶ εἶπε πρός με, πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν
ἐξαποστελῶ σε. Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ
ἐπῆραν τὴν φωνὴν αὐτῶν, λέγοντες. αἶρε ἀπὸ τῆς γῆς τὸν
τοιοῦτον, οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. κραζόντων δὲ αὐτῶν, καὶ
ῥιπτούντων τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,
ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος ἄγεσθαι εἰς τὴν παρεμβολὴν,
εἰπὼν, μάστιξιν ἀνετάζεσθαι αὐτὸν, ἵνα ἐπιγνῷ δι᾽ ἣν αἰτίαν
οὕτως ἐπεφώνουν αὐτῷ. Ὡς δὲ προέτεινεν αὐτὸν τοῖς ἱμᾶ-
σιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ παῦλος. εἰ ἄν-
θρωπον ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; ἀκού-
σας δὲ ὁ ἑκατόνταρχος προσελθὼν ἀπήγγειλε τῷ χιλιάρ-
χῳ. λέγων. ὅρα, τί μέλλεις ποιεῖν; ὁ γὰρ ἄνθρωπος οὗτος
ῥωμαῖός ἐστι. προσελθὼν δὲ ὁ χιλίαρχος, εἶπεν αὐτῷ. λέ-
γε μοι, εἰ σὺ ῥωμαῖος εἶ; ὁ δὲ ἔφη, ναί. ἀπεκρίθη τε ὁ χιλί-
αρχος. ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτη-
σάμην. ὁ δὲ παῦλος ἔφη. ἐγὼ δὲ καὶ γεγέννημαι. εὐθέως
οὖν ἀπέστησαν ἀπ᾽ αὐτοῦ, οἱ μέλλοντες αὐτὸν ἀνετάζειν. καὶ ὁ
χιλίαρχος δὲ ἐφοβήθη, ἐπιγνοὺς, ὅτι ῥωμαῖός ἐστι, καὶ ὅτι
ἦν αὐτὸν δεδεκώς. Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσ-
φαλὲς,



φαλὲς, τὸ, τί κατηγορεῖται παρὰ τῶν ἰουδαίων, ἔλυσεν αὐτὸν
ἀπὸ τῶν δεσμῶν. καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον
τὸ συνέδριον αὐτῶν. καὶ καταγαγὼν τὸν παῦλον, ἔστησεν εἰς αὐ-
τούς. Κεφ. κγ. Ἀτενίσας δὲ ὁ παῦλος τῷ συνεδρίῳ XXIII
εἶπεν. ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολί-
τευμαι τῷ θεῷ, ἄχρι ταύτης τῆς ἡμέρας. Ὁ δὲ ἀρχιερεὺς ἀνα-
νίας ἐπέταξε τοῖς παρεστῶσιν αὐτῷ, τύπτειν αὐτοῦ τὸ στόμα. τό-
τε ὁ παῦλος πρὸς αὐτὸν εἶπε. τύπτειν σε μέλλει ὁ θεὸς τοῖχε
κεκονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανο-
μῶν κελεύεις με τύπτεσθαι; οἱ δὲ παρεστῶτες εἶπον. τὸν ἀρχιε-
ρέα τοῦ θεοῦ λοιδορεῖς; ἔφη τε ὁ παῦλος. οὐκ ᾔδειν ἀδελφοὶ,
ὅτι ἐστὶν ἀρχιερεύς. γέγραπται γὰρ, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐ-
ρεῖς κακῶς. γνοὺς δὲ ὁ παῦλος, ὅτι τὸ ἓν μέρος ἐστὶ σαδδου-
καίων, τὸ δὲ ἕτερον φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ. Ἄν-
δρες ἀδελφοὶ, ἐγὼ φαρισαῖός εἰμι υἱὸς φαρισαίου, περὶ ἐλ-
πίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. τοῦτο δὲ λαλήσαν-
τος, ἐγένετο στάσις τῶν φαρισαίων, καὶ τῶν σαδδουκαίων, καὶ
ἐσχίσθη τὸ πλῆθος. σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνά-
στασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα. φαρισαῖοι δὲ ὁμολογοῦ-
σι τὰ ἀμφότερα. ἐγένετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες
γραμματεῖς τοῦ μέρους τῶν φαρισαίων, διεμάχοντο, λέγον-
τες. οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ εἰ δὲ πνεῦ-
μα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν. πολλῆς δὲ γε-
νομένης στάσεως, εὐλαβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ
παῦλος ὑπ᾽ αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβῆναι καὶ ἁρ-
πάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν.
τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ κύριος, εἶπε. Θάρσει παῦ-
λε, ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς ἱερουσαλὴμ, οὕτως
σε δεῖ καὶ εἰς ῥώμην μαρτυρῆσαι. Γενομένης δὲ ἡμέρας, ποιή-

σαντες τινες τῶν Ἰουδαίων συστροφὴν, ἀνεθεμάτισαν ἑαυτοὺς, λέγοντες, μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀποκτείνωσι τὸν παῦλον. ἦσαν δὲ πλείους τεσσαράκοντα, οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες, οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς, μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνωμεν τὸν παῦλον. Νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ καὶ τῷ συνεδρίῳ, ὅπως αὔριον αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ. ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς παύλου τὸ ἔνεδρον παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν, ἀπήγγειλε τῷ παύλῳ. προσκαλεσάμενος δὲ ὁ παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον, ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγε πρὸς τὸν χιλίαρχον, καὶ φησίν· ὁ δέσμιος παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρὸς σε, ἔχοντά τι λαλῆσαί σοι. ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος, καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο, τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι; εἶπε δὲ, ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε, ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς τὸν παῦλον, ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ, σὺ οὖν μὴ πεισθῇς αὐτοῖς, ἐνεδρεύουσι γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα. οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν, ἕως οὗ ἀνέλωσιν αὐτόν. καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν. ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας, μηδενὶ ἐκλαλῆσαι, ὅτι ταῦτα ἐφάνισας πρὸς με. καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων εἶπεν, ἑτοιμάσατε στρατιώτας διακοσίους, ὅπως πο-



ρευθῶσιν ἕως καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτὸς, κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν παῦλον διασώσωσι πρὸς φήλικα τὸν ἡγεμόνα, γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον. κλαύδιος λυσίας τῷ κρατίστῳ ἡγεμόνι φήλικι χαίρειν. τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτὸν, μαθὼν ὅτι ῥωμαῖός ἐστι, βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν, δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν. Ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου, ἢ δεσμῶν ἔγκλημα ἔχοντα. μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν ἔσεσθαι ἀπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σε, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ, ἔρρωσο. Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν παῦλον ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν ἀντιπατρίδα. τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν. οἵτινες εἰσελθόντες εἰς τὴν καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν παῦλον αὐτῷ. ἀναγνοὺς δὲ ὁ ἡγεμὼν καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστὶ, καὶ πυθόμενος ὅτι ἀπὸ κιλικίας, διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται, ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ ἡρώδου φυλάττεσθαι. Κ. κδ. XXIIII

Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς ἀνανίας μετὰ τῶν πρεσβυτέρων καὶ ῥήτορος τερτύλλου τινὸς, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ παύλου. κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ τέρτυλλος, λέγων· πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ

ἀποδεχόμεθα, κράτιστε φῆλιξ, μετὰ πάσης εὐχαριστίας. ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, καὶ κινοῦντα στάσιν πᾶσι τοῖς ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν ναζωραίων αἱρέσεως, ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν. παρελθὼν δὲ λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε, κελεύων τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπί σε, παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. συνέθεντο δὲ καὶ οἱ ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν. ἀπεκρίθη δὲ ὁ παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν. ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσίν μοι ἡμέραι ἢ δεκαδύο, ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν ἱερουσαλήμ. καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπίστασιν ποιοῦντα ὄχλου. οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ πόλιν, οὔτε παραστῆσαι με δύνανται, περὶ ὧν κατηγοροῦσί μου, ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν, ἣν λέγουσιν αἵρεσιν, οὕτως λατρεύω τῷ πατρῴῳ θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ τοῖς προφήταις γεγραμμένοις, ἐλπίδα ἔχων εἰς τὸν θεὸν ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων. ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς ἀνθρώπους διαπαντός. δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην, ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς. ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐ δὲ μετὰ θορύβου. τινὲς δὲ ἀπὸ τῆς ἀσίας ἰουδαῖοι, οὓς δεῖ ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν πρός με. ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, εἴ τι εὗρον ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου, ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἐκέκραξα ἑστὼς ἐν αὐτοῖς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ' ὑμῶν. ἀκούσας δὲ ταῦτα ὁ φῆλιξ, ἀνέβαλε αὐτοὺς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών. ὅταν λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς. διαταξάμενός τε τῷ ἑκατοντάρχῳ τηρεῖσθαι τὸν παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν, ἢ προσέρχεσθαι αὐτῷ. Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ φῆλιξ σὺν δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ, οὔσῃ ἰουδαίᾳ, μετεπέμψατο τὸν παῦλον. καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χειστὸν πίστεως. διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας, καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ φῆλιξ, ἀπεκρίθη, τὸ νῦν ἔχον πορεύου, καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε. ἅμα δὲ καὶ ἐλπίζων. ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ παύλου, ὅπως λύσῃ αὐτόν. διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ. Διετίας δὲ πληρωθείσης ἔλαβε διάδοχον ὁ φῆλιξ πόρκιον φῆστον, θέλων τε χάριτας καταθέσθαι τοῖς ἰουδαίοις ὁ φῆλιξ, κατέλιπε τὸν παῦλον δεδεμένον.

Κεφ. κε.

Φῆστος οὖν ἐπιβὰς XXV
τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς ἱεροσόλυμα ἀπὸ καισαρείας. ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν ἰουδαίων κατὰ τοῦ παύλου, καὶ παρεκάλουν αὐτὸν, αἰτούμενοι χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς ἱερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν οὖν φῆστος ἀπεκρίθη, τηρεῖσθαι τὸν παῦλον ἐν καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησὶ, συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ,

κατηγορείτωσαν αὐτοῦ. Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν παῦλον ἀχθῆναι. παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ ἱεροσολύμων καταβεβηκότες ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, ἀπολογουμένου αὐτοῦ, ὅτι οὔτε εἰς τὸν νόμον τῶν ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς καίσαρά τι ἥμαρτον. Ὁ φῆστος δὲ ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ παύλῳ, εἶπε. Θέλεις εἰς ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ᾽ ἐμοῦ; εἶπε δὲ ὁ παῦλος. ἐπὶ τοῦ βήματος καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν. εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. καίσαρα ἐπικαλοῦμαι. τότε ὁ φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη. καίσαρα ἐπικέκλησαι; ἐπὶ καίσαρα πορεύσῃ. Ἡμερῶν δὲ διαγενομένων τινῶν, ἀγρίππας ὁ βασιλεὺς καὶ βερνίκη κατήντησαν εἰς καισάρειαν, ἀσπασόμενοι τὸν φῆστον. Ὡς δὲ πλείους ἡμέρας διέτριβεν ἐκεῖ, ὁ φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν παῦλον λέγων. Ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ φήλικος δέσμιος. περὶ οὗ γενομένου μου εἰς ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην, πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. Συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδὲ μίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα, περὶ οὗ



σταθέντες οἱ κατήγοροι, οὐδὲ μίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ. ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτὸν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ παῦλος ζῆν. Ἀπορούμενος δὲ ἐγὼ τὴν περὶ τούτου ζήτησιν, ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς ἱερουσαλὴμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων. τοῦ δὲ παύλου ἐπικαλεσαμένου, τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν, ἕως οὗ πέμψω αὐτὸν πρὸς καίσαρα. Ἀγρίππας δὲ πρὸς τὸν φῆστον ἔφη, ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. ὁ δὲ, αὔριον φησὶν, ἀκούσῃ αὐτοῦ. τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ ἀγρίππα καὶ τῆς βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ᾽ ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ φήστου, ἤχθη ὁ παῦλος, καί φησιν ὁ φῆστος. Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον, περὶ οὗ πᾶν τὸ πλῆθος τῶν ἰουδαίων ἐνέτυχόν μοι, ἐν ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι. Ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν σεβαστὸν, ἔκρινα πέμπειν αὐτόν. περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω, διὸ προήγαγον αὐτὸν ἐφ᾽ ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ βασιλεῦ ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι. ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ᾽ αὐτοῦ αἰτίας σημᾶναι.

Κεφάλ. κϛ. XXVI

Ἀγρίππας δὲ πρὸς τὸν παῦλον ἔφη, ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. τότε ὁ παῦλος ἀπελογεῖτο ἐκτείνας τὴν χεῖρα. περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ ἰουδαίων βασιλεῦ ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον, μέλλων ἀπολογεῖσθαι ἐπὶ σοῦ σήμερον, μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ ἰουδαίους

ἠθῶν τε καὶ ζητημάτων· διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί μου. τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας, ἔζησα φαρισαῖος, καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος, εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει καταντῆσαι, περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι βασιλεῦ ἀγρίππα, ὑπὸ τῶν ἰουδαίων. τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι, ὃ καὶ ἐποίησα ἐν ἱεροσολύμοις· καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών, ἀναιρουμένων τε αὐτῶν, κατήνεγκα ψῆφον. καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτούς, ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. ἐν οἷς καὶ πορευόμενος εἰς τὴν δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων, ἡμέρας μέσης βασιλεῦ κατὰ τὴν ὁδὸν εἶδον οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ ἑβραΐδι διαλέκτῳ· Σαοὺλ σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἐγὼ δὲ εἶπον· τίς εἶ κύριε; ὁ δὲ εἶπεν· ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ



καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ὑποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. ὅθεν βασιλεῦ ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, ἀλλὰ τοῖς ἐν δαμασκῷ πρῶτον, καὶ ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλων μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. ἕνεκα τούτων με οἱ ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα, μαρτυρούμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι, καὶ μωσῆς, εἰ παθητὸς ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι. Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη, μαίνῃ παῦλε, τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. ὁ δέ, οὐ μαίνομαί φησι κράτιστε φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι, ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ, λανθάνειν γὰρ αὐτὸν τι τούτων, οὐ πείθομαι οὐδέν, οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο. πιστεύεις βασιλεῦ ἀγρίππα τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις. ὁ δὲ ἀγρίππας πρὸς τὸν παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι. ὁ δὲ παῦλος εἶπεν· εὐξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιούτους, ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμών, ἥ τε βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς· καὶ ἀναχωρήσαντες, ἐλάλουν πρὸς

ἀλλήλους λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει
ὁ ἄνθρωπος οὗτος. ἀγρίππας δὲ τῷ φήστῳ ἔφη, ἀπολελύσθαι
ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο καίσαρα.

XXVII Κεφ. κζ. Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν ἰτα-
λίαν, παρεδίδουν τόν τε παῦλον καί τινας ἑτέρους δεσμώ-
τας ἑκατοντάρχῳ, ὀνόματι ἰουλίῳ, σπείρης σεβαστῆς. ἐπιβάν-
τες δὲ πλοίῳ ἀδραμυτηνῷ μέλλοντες πλεῖν τοὺς κατὰ τὴν ἀσί-
αν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν ἀριστάρχου μακεδό-
νος θεσσαλονικέως. τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς σιδῶνα. φι-
λανθρώπως τε ὁ ἰούλιος τῷ παύλῳ χρησάμενος, ἐπέτρεψε
πρὸς τοὺς φίλους πορευθέντα, ἐπιμελείας τυχεῖν. κἀκεῖ-
θεν ἀναχθέντες, ὑπεπλεύσαμεν τὴν κύπρον, διὰ τὸ τοὺς ἀνέ-
μους εἶναι ἐναντίους. τό, τε πέλαγος τὸ κατὰ τὴν κιλικίαν καὶ
παμφυλίαν διαπλεύσαντες κατήλθομεν εἰς μύρα τῆς λυκίας,
κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον ἀλεξανδρινὸν, πλέον
εἰς τὴν ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. Ἐν ἱκαναῖς δὲ
ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν
κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν
κρήτην κατὰ σαλμώνην. μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλ-
θομεν εἰς τόπον τινὰ, καλούμενον καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν
πόλις λασαία. Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος
ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς, διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρε-
ληλυθέναι, παρῄνει ὁ παῦλος, λέγων αὐτοῖς. Ἄνδρες, θεω-
ρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον τοῦ φόρτου καὶ
τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν.
ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπεί-
θετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ παύλου λεγομένοις. Ἀνευθέτου δὲ
τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους
ἔθεντο βουλὴν ἀναχθῆναι κἀκεῖθεν, εἴπως δύναιντο καταν-



τήσαντες εἰς φοίνικα παραχειμάσαι, λιμένα τῆς κρήτης, βλέ-
ποντα κατὰ λίβα καὶ κατὰ χῶρον. ὑποπνεύσαντος δὲ νότου,
δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον, πα-
ρελέγοντο τὴν κρήτην. μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνε-
μος τυφωνικὸς, ὁ καλούμενος εὐροκλύδων. συναρπασθέν-
τος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ,
ἐπιδόντες ἐφερόμεθα. Νησίον δέ τι ὑποδραμόντες, καλού-
μενον κλαύδην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκά-
φης, ἣν ἄραντες, βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον,
φοβούμενοί τε μὴ εἰς τὴν σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ
σκεῦος, οὕτως ἐφέροντο. Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ
ἑξῆς ἐκβολὴν ἐποιοῦντο, καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ
πλοίου ἐρρίψαμεν. μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινόντων
ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου,
λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς. πολλῆς
δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ παῦλος ἐν μέσῳ αὐ-
τῶν, εἶπεν. Ἔδει μὲν ὦ ἄνδρες πειθαρχήσαντάς μοι μὴ ἀνά-
γεσθαι ἀπὸ τῆς κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ
τὴν ζημίαν. καὶ τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν. ἀποβολὴ
γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου, παρέστη
γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ θεοῦ οὗ εἰμι, ᾧ καὶ λα-
τρεύω, λέγων. μὴ φοβοῦ παῦλε, καίσαρί σε δεῖ παραστῆναι.
Καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέοντας με-
τά σου. διὸ εὐθυμεῖτε ἄνδρες. πιστεύω γὰρ τῷ θεῷ, ὅτι οὕτως
ἔσται, καθ' ὃν τρόπον λελάληταί μοι. εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς
ἐκπεσεῖν. ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομέ-
νων ἡμῶν ἐν τῷ ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς, ὑπενόουν οἱ ναῦται
προσάγειν τινὰ αὐτοῖς χώραν, καὶ βολίσαντες, εὗρον ὀργυιὰς
εἴκοσι, βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον

ὀργυιὰς δεκαπέντε. φοβούμενοί τε μή πως εἰς τραχεῖς τόπους
ἐκπέσωσιν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχον-
το ἡμέραν γενέσθαι. τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοί-
ου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφά-
σει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν. εἶπεν ὁ Παῦ-
λος τῷ ἑκατοντάρχῳ καὶ τοῖς στρατιώταις, ἐὰν μὴ οὗτοι μεί-
νωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. τότε οἱ στρα-
τιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκ-
πεσεῖν. ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦ-
λος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· τεσσαρεσκαιδεκά-
την σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε, μη-
δὲν προσλαβόμενοι, διὸ παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς·
τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει. οὐδενὸς γὰρ ὑμῶν
θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται. Εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρ-
τον, εὐχαρίστησε τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλάσας, ἤρξα-
το ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελά-
βοντο τροφῆς, ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ, διακό-
σιαι ἑβδομηκονταέξ. Κορεσθέντες δὲ τροφῆς, ἐκούφιζον τὸ πλοῖ-
ον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. ὅτε δὲ ἡμέρα
ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον δέ τινα κατενό-
ουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν ἐβουλεύσαντο εἰ δύναιντο, ἐξῶσαι
τὸ πλοῖον, καὶ τὰς ἀγκύρας περιελόντες, εἴων εἰς τὴν θά-
λασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐ-
πάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγια-
λόν. περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν
ναῦν, καὶ ἡ μὲν πρώρα ἐρείσασα, ἔμεινεν ἀσάλευτος· ἡ δὲ πρύ-
μνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων. Τῶν δὲ στρατιωτῶν βουλὴ
ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμ-
βήσας διαφύγοι. ὁ δὲ ἑκατόνταρχος βουλόμενος διασῶσαι
τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε
τοὺς δυναμένους κολυμβᾶν, ἀπορρίψαντες πρώτους ἐπὶ τὴν
γῆν ἐξιέναι, καὶ τοὺς λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί
τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο πάντας διασωθῆ-
ναι ἐπὶ τὴν γῆν. Κεφάλ. κη. Καὶ διασωθέντες, τότε XXVIII
ἐπέγνωσαν, ὅτι Μελίτη ἡ νῆσος καλεῖται. Οἱ δὲ βάρβαροι πα-
ρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ
πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶ-
τα, καὶ διὰ τὸ ψῦχος. συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων
πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρμης
ἐξελθοῦσα, καθῆψε τῆς χειρὸς αὐτοῦ. ὡς δὲ εἶδον οἱ βάρβα-
ροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλή-
λους· πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέν-
τα ἐκ τῆς θαλάσσης, ἡ δίκη ζῆν οὐκ εἴασεν. Ὁ μὲν οὖν ἀπο-
τινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. οἱ δὲ προσε-
δόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν.
ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων, καὶ θεωρούντων μηδὲν
ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον θεὸν αὐ-
τὸν εἶναι. ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον, ὑπῆρχε χωρία
τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος
ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. Ἐγένετο δὲ τὸν πα-
τέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κα-
τακεῖσθαι. πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος
ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. τούτου οὖν γενομέ-
νου καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, προσήρχοντο
καὶ ἐθεραπεύοντο, οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀνα-
γομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν. Μετὰ δὲ τρεῖς μῆνας
ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρί-
νῳ, παρασήμῳ Διοσκούροις. καὶ καταχθέντες εἰς Συρακού-

σας ἐπεμείναμεν ἡμέρας τρεῖς, ὅθεν περιελθόντες κατηντήσαμεν εἰς ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευτεραῖοι ἤλθομεν εἰς ποτιόλους, οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ᾽ αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτὰ, καὶ οὕτως εἰς τὴν ῥώμην ἤλθομεν. κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν, ἄχρις ἀππίου φόρου, καὶ τριῶν ταβερνῶν. οὓς ἰδὼν ὁ παῦλος εὐχαριστήσας τῷ θεῷ, ἔλαβε θάρσος. ὅτε δὲ ἤλθομεν εἰς ῥώμην, ὁ ἑκατόνταρχος παρέδωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ. τῷ δὲ παύλῳ ἐπετράπη μένειν καθ᾽ ἑαυτὸν, σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς, συγκαλέσασθαι τὸν παῦλον τοὺς ὄντας τῶν ἰουδαίων πρώτους. συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς. Ἄνδρες ἀδελφοὶ, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν ῥωμαίων, οἵτινες ἀνακρίναντές με, ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί, ἀντιλεγόντων δὲ τῶν ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι καίσαρα. οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς, ἰδεῖν καὶ προσλαλῆσαι, ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι. οἱ δὲ πρὸς αὐτὸν εἶπον. ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν. ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς, περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης, γνωστόν ἐστιν ἡμῖν, ὅτι πανταχοῦ ἀντιλέγεται. ταξάμενοι δὲ αὐτῷ ἡμέραν ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου μωσέως καὶ τῶν προφητῶν, ἀπὸ



πρωῒ ἕως ἑσπέρας. Καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν. ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους, ἀπελύοντο, εἰπόντος τοῦ παύλου ῥῆμα ἕν. ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν, λέγον. πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ. ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι. καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν.
ἔμεινε δὲ ὁ παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μι
σθώματι. καὶ ἀπεδέχετο πάντας τοὺς
εἰσπορευομένους πρὸς αὐτὸν,
κηρύσσων τὴν βασιλεί
αν τοῦ θεοῦ,
καὶ διδάσκων τὰ περὶ τοῦ κυ
ρίου Ἰησοῦ μετὰ πάσης
παρρησίας ἀκω
λύτως.

ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟ
ΛΩΝ ΕΥΤΥΧΩΣ ΣΥΝ
ΤΕΤΕΛΕΣΜΕΝΑΙ.

Υπόθεσις

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ ΠΡΟΣ ΤΟΥΣ ΡΩΜΑΙΟΥΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ κορίνθου, μήπω μὲν ἑωρακὼς ῥωμαίους, ἀκούων δὲ περὶ αὐτῶν, καὶ ἐπιποθῶν αὐτοὺς ἰδεῖν. καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν καταγγελλομένην ὁρῶν πανταχοῦ. ἔπειτα σημαίνει πολλάκις ἑαυτὸν προθέμενον ἐλθεῖν, διὰ τὸν εἰς αὐτοὺς πόθον, καὶ τέως μὴ δεδυνῆσθαι. καὶ λοιπὸν διδασκαλικὴν τὴν ἐπιστολὴν ποιεῖται περὶ κλήσεως ἐθνῶν, καὶ ὅτι ἡ περιτομὴ ἕως καιροῦ ἦν, καὶ νῦν πέπαυται, καὶ ὅτι διὰ τοῦ Χριστοῦ λέλυται τὸ παράπτωμα τοῦ ἀδὰμ, καὶ ἡ σκιὰ τοῦ νόμου παρῆλθε. τὴν μὲν οὖν κλῆσιν τῶν ἐθνῶν ἀκολούθως γεγενῆσθαι κατασκευάζει, οὕτως ἀποδείκνυσι πᾶσιν ἀνθρώποις ἔμφυτον εἶναι τὸν νόμον, καὶ πάντας ἀδιδάκτῳ τε τῇ φύσει, καὶ ἀπ᾽ αὐτῆς τῆς κτίσεως δύνασθαι γινώσκειν τὸν θεόν. διὸ καὶ εἰκότως αἰτιᾶται πρῶτον ἕλληνας, ὡς τοῦ μὲν θεοῦ φανερώσαντος αὐτοῖς ἐκ τῶν ποιημάτων αὐτοῦ τοῦ κόσμου, τὴν περὶ αὐτοῦ γνῶσιν, καὶ τῆς ἀϊδίου δυνάμεως αὐτοῦ, ἐν ᾧ καὶ δι᾽ οὗ τὰ πάντα πεποίηκεν. αὐτοὺς δὲ ἐγνωκέναι μὲν ἐκ τῶν κτισμάτων, εἶναι θεὸν τὸν τούτων δημιουργὸν, τὰ δὲ ποιήματα θεοποιήσαντας, καὶ τῇ κτίσει μᾶλλον, ἢ αὐτῷ λατρεύσαντας. Αἰτιᾶται δὲ καὶ ἰουδαίους, ὡς μὴ φυλάξαντας τὸν νόμον, ἀλλὰ μᾶλλον διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάσαντας. καὶ οὕτως ἀμφότερα τὰ μέγιστα, ἰουδαίους τε καὶ ἕλληνας συγκλείει, καὶ ἐλέγχει ἐπὶ τῇ παρανομίᾳ, ἵνα

δείξῃ, ὅτι ἴσοι γενόμενοι πάντες, ἐπ' ἴσοις οἱ πάντες ὡς ὑπεύθυνοι τοῦ λυτρουμένου δέονται. τῆς δὲ χάριτος καὶ λυτρώσεως ἐπ' ἴσης τοῖς ἰουδαίοις γενομένης καὶ ἐπὶ τὰ ἔθνη, εἰκότως καὶ ἡ κλῆσις γέγονε τῶν ἐθνῶν, τῆς δὲ κλήσεως τῶν ἐθνῶν γενομένης, ἐξ ἀνάγκης πέπαυται ἡ περιτομή, καὶ ἡ ἐν τῷ νόμῳ σκιά. ὁ γὰρ ἀβραάμ, φησίν, οὐκ ἐν περιτομῇ, ἀλλὰ πρὸ τῆς περιτομῆς δικαιωθείς, μετωνομάσθη μὲν ἀβραάμ, ὅτι πατὴρ πολλῶν ἐθνῶν ἤμελλεν εἶναι, κατὰ τὴν ἐν τῇ ἀκροβυστίᾳ πίστιν. ἔλαβε δὲ μετὰ τὸ δικαιωθῆναι καὶ τὴν περιτομὴν ἐν σαρκί, ἵνα σημεῖον ᾖ τοῖς κατὰ σάρκα γεννωμένοις ἐξ αὐτοῦ. παύσασθαι ποτὲ τὴν περιτομήν, ὅταν τὰ ἔθνη γίνηται τέκνα τοῦ ἀβραάμ, ἀρξάμενα πολιτεύεσθαι κατὰ τὴν πίστιν τοῦ ἀβραάμ. ἐν ᾗ ἐδικαιώθη, ὅτε ἦν ἐν ἀκροβυστίᾳ. τούτων γὰρ χάριν καὶ μετωνομάσθη ἀβραάμ. ἀνάγκη δὲ ἐλθόντων τῶν σημαινομένων, παύσασθαι τὸ σημαῖνον. Εἰ μὲν οὖν τὰ ἔθνη ἀναγκάζουσι περιτέμνεσθαι, παυέτω καὶ τὸ ὄνομα τοῦ ἀβραάμ, καὶ καλείσθω ἄβραμ. εἰ δὲ ἀβραὰμ παρὰ θεοῦ μετωνομάσθη, οὐ δὲ περιτέμνεσθαι τὰ ἔθνη, ἀλλ' οὐδ' αὐτοὺς ἔτι τοὺς κατὰ σάρκα ἰουδαίους, ἵνα ᾖ τὸ ὄνομα βέβαιον, καὶ πατὴρ ἐθνῶν πολλῶν καλεῖται. καὶ γὰρ οὐ χρείαν ἔχει τις λοιπὸν περιτέμνεσθαι. ἀρκούμενος τῇ πίστει τοῦ ἀβραάμ, οὐδὲ τῆς ἄλλης δὲ τῆς ἐν τῷ νόμῳ σκιᾶς. οὐ γὰρ ἐκ τούτων, ἀλλ' ἐκ πίστεως δικαιοῦταί τις, καθάπερ καὶ ἀβραάμ. Ταῦτα οὕτως κατασκευάσας, ἀποδείκνυσι πάλιν, ὅτι ἄλλως οὐκ ἂν γένοιτο λύτρωσις καὶ χάρις τῷ ἰσραήλ, καὶ τοῖς ἔθνεσιν, εἰ μὴ διαλυθῇ ἡ ἀρχαία ἁμαρτία τοῦ ἀδὰμ ἡ εἰς πάντας γενομένη, δι' ἄλλου δὲ μὴ δύνασθαι αὐτὴν ἐξαλειφθῆναι φησίν, ἢ διὰ Χριστοῦ τοῦ θεοῦ. οὐ γὰρ δυνατὸν ἦν, ἄλλον λῦσαι τὸ παράπτωμα, δι' αὐτοῦ γὰρ καὶ ἐξ ἀρχῆς ἡ κατάρα γέγονεν. Εἶτα γράφει, ὅτι ἄλλως τοῦτο οὐ μὴ γέ-

νηται, εἰ μὴ σῶμα φορέσει ὁ υἱὸς τοῦ θεοῦ, καὶ γένηται ἄνθρωπος, ἵνα τοῦτο προσενέγκας ὑπὲρ πάντων, τοὺς πάντας ἐλευθερώσῃ ἀπὸ τοῦ θανάτου, καὶ ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, οὕτως καὶ δι' ἑνὸς ἀνθρώπου ἡ χάρις γένηται. καὶ λοιπὸν ὡς καλὸς οἰκονόμος, τοὺς μὲν ἰουδαίους παραμυθεῖται. ὅτι οὐ παραβάται γίνεσθε τοῦ νόμου,
ἐὰν εἰς Χριστὸν πιστεύσητε. τοὺς δὲ ἀπὸ τῶν ἐθνῶν παρεγ-
γυᾷ μὴ ἐπαίρεσθαι κατὰ τοῦ ἰσραήλ, ἀλλὰ γινώ-
σκειν ὅτι ὡς κλάδοι ἐπ' ἐκείνους, ὡς
ἐπὶ τὴν ῥίζαν ἐνεκεντρίσθησαν.
μετὰ δὲ ταῦτα παραι-
νετικοὺς λό-
γους εἰς τὰ ἤθη διδάξας,
τελειοῖ τὴν ἐπιστο-
λήν.

# ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΟΛΗ.

## Κεφάλαιον πρῶτον.

π ΑΥΛΟΣ δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ, κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ, ἐν δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν, εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν οἷς ἐστὲ καὶ ὑμεῖς, κλητοὶ Ἰησοῦ Χριστοῦ· πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ, ἀγαπητοῖς θεοῦ, κλητοῖς ἁγίοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου, διὰ Ἰησοῦ Χριστοῦ, ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Μάρτυς γάρ μου ἐστὶν ὁ θεὸς ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου, δεόμενος, εἴπως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν, εἰς τὸ στηριχθῆναι ὑμᾶς, τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν, διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν



τινα σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις, ὀφειλέτης εἰμί. οὕτως τὸ κατ' ἐμὲ, πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι. Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν. καθὼς γέγραπται. ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ, ἐπὶ πᾶσαν ἀσέβειαν, καὶ ἀδικίαν ἀνθρώπων, τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. διότι τὸ γνωστὸν τοῦ θεοῦ, φανερόν ἐστιν ἐν αὐτοῖς. ὁ γὰρ θεὸς αὐτοῖς ἐφανέρωσε. τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους, διότι γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν. διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν, εἰς ἀκαθαρσίαν, τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς, οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν αὐτοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει, παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας. αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν, εἰς τὴν παρὰ φύσιν, ὁμοίως τε καὶ οἱ ἄρσενες, ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμε-

νοι, καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν, ἐν ἑαυτοῖς ἀ-
πολαμβάνοντες. Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν
ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποι-
εῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ,
πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ, μεστοὺς φθόνου, φόνου, ἔριδος, δό-
λου, κακοηθείας, ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς,
ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς,
ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας.
Οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα
πράσσοντες, ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν,
II ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. Κεφ. β. Διὸ
ἀναπολόγητος εἶ ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων. ἐν ᾧ γὰρ κρίνεις τὸν
ἕτερον, σεαυτὸν κατακρίνεις, τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων.
Οἴδαμεν γὰρ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστὶ κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ
τοιαῦτα πράσσοντας. Λογίζῃ δὲ τοῦτο ὦ ἄνθρωπε ὁ κρίνων
τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύ-
ξῃ τὸ κρίμα τοῦ θεοῦ; ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ
τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι
τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκλη-
ρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀρ-
γὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θε-
οῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν καθ' ὑπο-
μονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι,
ζωὴν αἰώνιον. τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀλη-
θείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς, καὶ ὀργή, θλίψις,
καὶ στενοχωρία, ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομέ-
νου τὸ κακόν, ἰουδαίου τε πρῶτον καὶ ἕλληνος. δόξα δέ,
καὶ τιμή, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, ἰου-
δαίῳ τε πρῶτον καὶ ἕλληνι. οὐ γάρ ἐστι προσωποληψία



παρὰ τῷ θεῷ. ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπο-
λοῦνται. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται.
οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ
ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Ὅταν γὰρ ἔθνη τὰ μὴ νό-
μον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες,
ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γρα-
πτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συ-
νειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ
καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν
ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ. Ἴδε σὺ
ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν
θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέρον-
τα, κατηχούμενος ἐκ τοῦ νόμου, πέποιθάς τε σεαυτὸν ὁδη-
γὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων,
διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως,
καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. Ὁ οὖν διδάσκων ἕτερον,
σεαυτὸν οὐ διδάσκεις. ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις.
Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις. ὁ βδελυσσόμενος τὰ εἴ-
δωλα, ἱεροσυλεῖς. ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβά-
σεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις. τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι' ὑ-
μᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καθὼς γέγραπται, περιτο-
μὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης
νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν. Ἐὰν οὖν ἡ ἀκρο-
βυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία
αὐτοῦ εἰς περιτομὴν λογισθήσεται; καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκρο-
βυστία, τὸν νόμον τελοῦσα, σέ, τὸν διὰ γράμματος καὶ περιτο-
μῆς παραβάτην νόμου; Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ ἰουδαῖός ἐστιν,
οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ
ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν πνεύματι οὐ γράμματι.

III οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ θεοῦ. Κεφ. γ.
Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέλεια τῆς περιτο-
μῆς; πολὺ κατὰ πάντα τρόπον. πρῶτον μὲν γὰρ, ὅτι ἐπι-
στεύθησαν τὰ λόγια τοῦ θεοῦ. τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀ-
πιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; μὴ γένοιτο. γινέ-
σθω δὲ ὁ θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης, καθὼς γέ-
(…alme 50) γραπται. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς
ἐν τῷ κρίνεσθαί σε. Εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύ-
νην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς, ὁ ἐπιφέρων
τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω. μὴ γένοιτο. ἐπεὶ πῶς κρι-
νεῖ ὁ θεὸς τὸν κόσμον; εἰ γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύ-
σματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁ-
μαρτωλὸς κρίνομαι; καὶ μὴ καθὼς βλασφημούμεθα, καὶ καθώς
φασί τινες ἡμᾶς λέγειν. ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ
τὰ ἀγαθά. ὧν τὸ κρίμα ἔνδικόν ἐστι. Τί οὖν; προεχόμεθα;
οὐ πάντως. προῃτιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας
πάντας ὑφ᾽ ἁμαρτίαν εἶναι, καθὼς γέγραπται. οὐκ ἔστι δίκαι-
(Psalmo 14) ος, οὐδὲ εἷς, οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν.
πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότη-
(Psalmo 5) τα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐ-
(Psalmo 139) τῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ
(Psalmo 10) τὰ χείλη αὐτῶν. ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς
οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα. σύντριμμα, καὶ ταλαιπωρία
ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. οὐκ
ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. Οἴδαμεν δὲ,
ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα
φραγῇ, καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ, διό-
τι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐ-
τοῦ. Διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. Νυνὶ δὲ χωρὶς



νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νό-
μου καὶ τῶν προφητῶν. δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰη-
σοῦ Χριστοῦ εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας. Οὐ
γάρ ἐστι διαστολή. πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δό-
ξης τοῦ θεοῦ. δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς
ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ. ὃν προέθετο ὁ θεὸς ἱλα-
στήριον, διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δι-
καιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτη-
μάτων, ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης
αὐτοῦ, ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαι-
οῦντα τὸν ἐκ πίστεως Ἰησοῦ. Ποῦ οὖν ἡ καύχησις; ἐξ-
εκλείσθη. διὰ ποίου νόμου; τῶν ἔργων; οὐχὶ, ἀλλὰ διὰ νόμου
πίστεως. λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς
ἔργων νόμου. ἢ Ἰουδαίων ὁ θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν;
ναὶ καὶ ἐθνῶν. ἐπείπερ εἷς ὁ θεὸς, ὃς δικαιώσει περιτομὴν
ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Νόμον οὖν καταρ-
γοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο. ἀλλὰ νόμον ἱστῶμεν.
Κεφ. δ. Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέ- IIII
ναι κατὰ σάρκα; εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχη-
μα, ἀλλ᾽ οὐ πρὸς τὸν θεόν. Τί γὰρ ἡ γραφὴ λέγει; ἐπίστευσε δὲ Ἀ- (Genesis 15)
βραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Τῷ δὲ ἐρ-
γαζομένῳ, ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ τὸ ὀφεί-
λημα. τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα
τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην. καθάπερ καὶ
Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ θεὸς λογίζε-
ται δικαιοσύνην χωρὶς ἔργων. μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνο- (Psalme 31)
μίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. μακάριος ἀνὴρ, ᾧ οὐ
μὴ λογίσηται κύριος ἁμαρτίαν. Ὁ μακαρισμὸς οὖν οὗτος, ἐπὶ
τὴν περιτομὴν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; λέγομεν γὰρ, ὅτι ἐλογίσθη

τῷ ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην, πῶς οὖν ἐλογίσθη; ἐν
περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀ-
κροβυστίᾳ. καὶ σημεῖον ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δι-
καιοσύνης τῆς πίστεως, τῆς ἐν τῇ ἀκροβυστίᾳ, εἰς τὸ εἶναι αὐ-
τὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας, εἰς τὸ
λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην, καὶ πατέρα περιτομῆς,
τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνε-
σι τῆς πίστεως, τῆς ἐν ἀκροβυστίᾳ τοῦ πατρὸς ἡμῶν ἀβραάμ.
*Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ ἀβραὰμ, ἢ τῷ σπέρματι αὐ-
τοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύ-
νης πίστεως. Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις,
καὶ κατήργηται ἡ ἐπαγγελία. ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται.
οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις. διὰ τοῦτο ἐκ πίστεως,
ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ
σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστε-
ως ἀβραὰμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν, καθὼς γέγραπται,
ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, κατέναντι οὗ ἐπίστευ-
σε θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς, καὶ καλοῦντος τὰ μὴ
ὄντα, ὡς ὄντα. *ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς
Genesis 15 cap. τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον.
*οὕτως ἔσται τὸ σπέρμα σου. καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κα-
τενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταέτης
που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας σάῤῥας, εἰς
δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνε-
δυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ θεῷ, καὶ πληροφορη-
θεὶς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι, διὸ καὶ ἐ-
λογίσθη αὐτῷ εἰς δικαιοσύνην. Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μό-
νον, ὅτι ἐλογίσθη αὐτῷ, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογί-
ζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡ-



μῶν ἐκ νεκρῶν, ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν,
καὶ ἠγέρθη διὰ τὴν δικαιοσύνην ἡμῶν. Κεφ. ε. *Δικαιω- V
θέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν θεὸν, διὰ τοῦ κυ-
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκα-
μεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν καὶ καυχώ-
μεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ
καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες, ὅτι ἡ θλίψις ὑπομο-
νὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα,
ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν
ταῖς καρδίαις ἡμῶν, διὰ πνεύματος ἁγίου τοῦ δοθέντος
ἡμῖν. *Ἔτι γὰρ Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν,
ὑπὲρ ἀσεβῶν ἀπέθανε. μόλις γὰρ ὑπὲρ δικαίου τὶς ἀποθανεῖ-
ται, ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τὶς καὶ τολμᾷ ἀποθανεῖν. Συνί-
στησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς, ὅτι ἔτι ἁμαρτω-
λῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πολλῷ οὖν
μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα
δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες, κατηλλάγημεν
τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλ-
λαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ
καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι'
οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν. *Διὰ τοῦτο, ὥσπερ δι' ἑνὸς
ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρ-
τίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος
διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον. Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν
κόσμῳ, ἁμαρτία δὲ οὐκ ἐλλογεῖται, μὴ ὄντος νόμου. Ἀλλ'
ἐβασίλευσεν ὁ θάνατος ἀπὸ ἀδὰμ μέχρι μωσέως, καὶ ἐπὶ τοὺς
μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως ἀ-
δὰμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος. *Ἀλλ' οὐχ ὡς τὸ παράπτω-
μα, οὕτως καὶ τὸ χάρισμα. Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι

οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ, καὶ ἡ
δωρεὰ ἐν χάριτι, τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς
πολλοὺς ἐπερίσσευσε. καὶ οὐχ ὡς δι᾽ ἑνὸς ἁμαρτήσαν
τος, τὸ δώρημα. Τὸ μὲν γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ
δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα.
Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ
τοῦ ἑνὸς, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ
τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύ
σουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. Ἄρα οὖν ὡς δι᾽ ἑνὸς πα
ραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ
δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίω
σιν ζωῆς. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου,
ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτως καὶ διὰ τῆς ὑπακο
ῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. *Νόμος δὲ
παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. Οὗ δὲ ἐπλεόνα
σεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, ἵνα ὥσπερ ἐβασί
λευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτως καὶ ἡ χάρις βασιλεύ
σῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ.
IV Κεφ. ς. *Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ
χάρις πλεονάσῃ; Μὴ γένοιτο. οἵτινες ἀπεθάνομεν τῇ ἁμαρ
τίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; Ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβα
πτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθη
μεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θά
νατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν, διὰ τῆς δόξης
τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσω
μεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου
αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. Τοῦτο γινώσκον
τες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταρ
γηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ



ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτί
ας. *Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν, ὅτι καὶ συζή
σομεν αὐτῷ. Εἰδότες, ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ
ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει. ὃ γὰρ ἀπέθανε,
τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφ᾽ ἅπαξ. ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. Οὕτως
καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ,
ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Μὴ
οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ
ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. Μηδὲ παριστάνε
τε τὰ μέλη ὑμῶν, ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστή
σατε ἑαυτοὺς τῷ θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑ
μῶν, ὅπλα δικαιοσύνης τῷ θεῷ. Ἁμαρτία γὰρ ὑμῶν οὐ κυ
ριεύσει. Οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν. *Τί οὖν;
Ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν;
Μὴ γένοιτο. Οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους
εἰς ὑπακοὴν, δοῦλοί ἐστε, ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς
θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; Χάρις δὲ τῷ θεῷ, ὅτι
ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας, εἰς
ὃν παρεδόθητε τύπον διδαχῆς. *Ἐλευθερωθέντες δὲ ἀπὸ
τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. Ἀνθρώπινον λέ
γω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. Ὥσπερ γὰρ παρε
στήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ,
εἰς τὴν ἀνομίαν, οὕτω καὶ νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦ
λα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. Ὅτε γὰρ δοῦλοι ἦτε τῆς
ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. Τίνα οὖν καρπὸν
εἴχετε τότε, ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων
θάνατος. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δου
λωθέντες δὲ τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμὸν,
τὸ δὲ τέλος ζωὴν αἰώνιον. Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θά

νατος. Τὸ δὲ χάρισμα τοῦ θεοῦ, ζωὴ αἰώνιος, ἐν Χριστῷ
VII Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Κεφάλαιον. ζ. Ἢ ἀγνοεῖτε ἀ-
δελφοί, γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει
τοῦ ἀνθρώπου, ἐφ᾽ ὅσον χρόνον ζῇ; ἡ γὰρ ὕπανδρος γυνή,
τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήρ-
γηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. Ἄρα οὖν ζῶντος τοῦ ἀνδρός,
μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ. Ἐὰν δὲ ἀ-
ποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐ-
τὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ. Ὥστε ἀδελφοί
μου καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ
Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι,
ἵνα καρποφορήσωμεν τῷ θεῷ. Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ
παθήματα τῶν ἁμαρτιῶν, τὰ διὰ τοῦ νόμου, ἐνηργεῖτο ἐν
τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. Νυνὶ
δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχό-
μεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ
παλαιότητι γράμματος. Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρ-
τία; Μὴ γένοιτο. Ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων, εἰ μὴ διὰ
νόμου. Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν,
οὐκ ἐπιθυμήσεις. Ἀφορμὴν δὲ λαβοῦσα, ἡ ἁμαρτία διὰ
τῆς ἐντολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν. Χωρὶς
γὰρ νόμου, ἁμαρτία νεκρά. Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ.
Ἐλθούσης δὲ τῆς ἐντολῆς, ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέ-
θανον. Καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον.
Ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς, ἐξηπάτησέ
με. καὶ δι᾽ αὐτῆς ἀπέκτεινεν. Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ
ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. Τὸ οὖν ἀγαθὸν, ἐμοὶ γέγο-
νε θάνατος; Μὴ γένοιτο. Ἀλλὰ ἡ ἁμαρτία. ἵνα φανῇ ἁμαρτία,
διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ᾽ ὑ-



περβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. Οἴδα-
μεν γὰρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν. Ἐγὼ δὲ σαρκικός εἰμι,
πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ κατεργάζομαι, οὐ γινώ-
σκω. Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ᾽ ὃ μισῶ, τοῦτο ποιῶ.
Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι καλός.
Νυνὶ δὲ οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐ-
μοὶ ἁμαρτία. Οἶδα γάρ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τοῦτ᾽ ἔστιν ἐν τῇ
σαρκί μου, ἀγαθόν. Τὸ γὰρ θέλειν παράκειταί μοι. Τὸ δὲ κα-
τεργάζεσθαι τὸ καλόν, οὐχ εὑρίσκω. Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγα-
θόν, ἀλλ᾽ ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω. Εἰ δὲ ὃ οὐ θέλω ἐ-
γώ, τοῦτο ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ οἰκοῦ-
σα ἐν ἐμοὶ ἁμαρτία. Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐ-
μοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. Συνήδο-
μαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον. Βλέπω δὲ
ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ
τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτί-
ας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου. Ταλαίπωρος ἐγὼ ἄνθρωπος,
τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; εὐχαριστῶ τῷ
θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ
μὲν νοῒ δουλεύω νόμῳ θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.
Κ. η. Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κα-
τὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. Ὁ γὰρ νόμος τοῦ VIII
πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ
νόμου τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου. Τὸ γὰρ ἀδύνατον τοῦ νό-
μου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας
ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε
τὴν ἁμαρτίαν, ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πλη-
ρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ
πνεῦμα. Οἱ γὰρ κατὰ σάρκα ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσιν.

Οἱ δὲ κατὰ πνεῦμα, τὰ τοῦ πνεύματος. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος. Τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη. Διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν. Τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. Οἱ δὲ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος τὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν. Ἄρα οὖν ἀδελφοὶ ὀφειλέται ἐσμὲν, οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν, εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν. εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. Ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ θεοῦ. Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, ἀββᾶ ὁ πατήρ. Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεοῦ. Εἰ δὲ τέκνα, καὶ κληρονόμοι. Κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. Λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως, τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι. Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ. Οἴδαμεν γὰρ, ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. οὐ μόνον δὲ,

νον δὲ,



νον δέ. ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. Τῇ γὰρ ἐλπίδι ἐσώθημεν. Ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς. Ὃ γὰρ βλέπει τὶς, τί καὶ ἐλπίζει; Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν. Τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν, στεναγμοῖς ἀλαλήτοις. Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. οἴδαμεν δὲ, ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. ὅτι οὓς προέγνω, καὶ προώρισε, συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ὑμῖν χαρίσεται; Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ; θεὸς ὁ δικαιῶν. Τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ θεοῦ. ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ; θλίψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός, ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; Καθὼς γέγραπται. ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ,

οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔ-
τε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀ-
πὸ τῆς ἀγάπης τοῦ θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.
IX Κ. θ. Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυ-
ρούσης μοι τῆς συνειδήσεώς μου, ἐν πνεύματι ἁγίῳ, ὅτι λύπη
μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου, ηὐχό-
μην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελ-
φῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται,
ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ
ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χρι-
στός, τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς
αἰῶνας ἀμήν. Οὐχ οἷον δέ, ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ
θεοῦ. Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ. οὐδ' ὅτι εἰσὶ
σπέρμα Ἀβραάμ, πάντες τέκνα, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί
σοι σπέρμα, τουτέστιν, οὐ τὰ τέκνα τῆς σαρκός, ταῦτα τέ-
κνα τοῦ θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς
σπέρμα. Ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος. κατὰ τὸν καιρὸν τοῦ-
τον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. Οὐ μόνον δέ, ἀλλὰ καὶ
Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν. Μήπω
γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα
ἡ κατ' ἐκλογὴν τοῦ θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ'
ἐκ τοῦ καλοῦντος, ἐρρήθη αὐτῇ. ὅτι ὁ μείζων δουλεύσει τῷ
ἐλάσσονι. Καθὼς γέγραπται, τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠ-
σαῦ ἐμίσησα. Τί οὖν ἐροῦμεν; Μὴ ἀδικία παρὰ τῷ θεῷ;
Μὴ γένοιτο, τῷ γὰρ Μωσῇ λέγει. Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρή-
σω ὃν ἂν οἰκτείρω. Ἄρα οὖν, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχον-
τος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ. Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραῷ.
ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύ-
ναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.

Ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. Ἐρεῖς οὖν μοι.
Τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε;
Μενοῦνγε ὦ ἄνθρωπε, σὺ τίς εἶ, ὁ ἀνταποκρινόμενος τῷ
θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕ-
τως; Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ
φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμί-
αν; Εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργήν, καὶ γνωρίσαι τὸ
δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κα-
τηρτισμένα εἰς ἀπώλειαν, καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς
δόξης αὐτοῦ, ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν,
οὓς καὶ ἐκάλεσεν ἡμᾶς, οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.
Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει. Καλέσω τὸν οὐ λαόν μου, λαόν μου,
καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην. καὶ ἔσται ἐν τῷ τόπῳ,
οὗ ἐρρήθη αὐτοῖς, οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ
θεοῦ ζῶντος. Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ. Ἐὰν ᾖ
ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραήλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ
κατάλειμμα σωθήσεται. Λόγον γὰρ συντελῶν καὶ συντέμνων
ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει κύριος ἐπὶ
τῆς γῆς. Καὶ καθὼς προείρηκεν Ἡσαΐας. Εἰ μὴ κύριος σαβα-
ὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ
ὡς Γόμορρα ἂν ὡμοιώθημεν. Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη τὰ μὴ
διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην
δὲ τὴν ἐκ πίστεως. Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, εἰς
νόμον δικαιοσύνης οὐκ ἔφθασε. Διατί; Ὅτι οὐκ ἐκ πίστεως,
ἀλλ' ὡς ἐξ ἔργων νόμου. Προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμ-
ματος. Καθὼς γέγραπται, ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμ-
ματος, καὶ πέτραν σκανδάλου. καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ κα-
ταισχυνθήσεται. Κ. ι. Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδί- X
ας, καὶ ἡ δέησις ἡ πρὸς τὸν θεόν, ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτη-

ρίαν. Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ
κατ' ἐπίγνωσιν. Ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην, καὶ
τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ
θεοῦ οὐχ ὑπετάγησαν. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιο-
σύνην παντὶ τῷ πιστεύοντι. Μωσῆς γὰρ γράφει τὴν δι-
καιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος,
ζήσεται ἐν αὐτοῖς. Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη, οὕτω λέγει.
Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν;
τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. ἤ, τίς καταβήσεται εἰς
τὴν ἄβυσσον; Τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν, ἀλλὰ τί λέ-
γει; ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ
σου. Τουτέστι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν, ὅτι ἐὰν ὁμολο-
γήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρ-
δίᾳ σου, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Καρδίᾳ
γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτη-
ρίαν. Λέγει γὰρ ἡ γραφή. πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καται-
σχυνθήσεται. Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος. ὁ
γὰρ αὐτὸς κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμέ-
νους αὐτόν. Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθή-
σεται. Πῶς οὖν ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς
δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; Πῶς δὲ ἀκούσουσιν χωρὶς
κηρύσσοντος; Πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; Κα-
θὼς γέγραπται. ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρή-
νην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. Ἀλλ' οὐ πάντες ὑπήκου-
σαν τῷ εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει. Κύριε τίς ἐπίστευσε τῇ
ἀκοῇ ἡμῶν; Ἄρα ἡ πίστις ἐξ ἀκοῆς. Ἡ δὲ ἀκοὴ διὰ ῥήματος
θεοῦ. Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε εἰς πᾶσαν τὴν
γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης
τὰ ῥήματα αὐτῶν. Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος



μωσῆς λέγει. Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει
ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει.
Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ
ἐπερωτῶσι. Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει. Ὅλην τὴν ἡμέραν ἐξ-
επέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέ-
γοντα. Κεφ. ια. Λέγω οὖν, μὴ ἀπώσατο ὁ θεὸς τὸν λα- XI
ὸν αὐτοῦ; Μὴ γένοιτο. καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρ-
ματος Ἀβραὰμ, φυλῆς Βενιαμίν. Οὐκ ἀπώσατο ὁ θεὸς τὸν
λαὸν αὐτοῦ, ὃν προέγνω. ἢ οὐκ οἴδατε, ἐν Ἠλίᾳ τί λέγει ἡ γρα-
φή; Ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ Ἰσραὴλ, λέγων. Κύριε,
τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκα-
ψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου.
ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑ-
πτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ.
οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ, λεῖμμα κατ' ἐκλογὴν χάρι-
τος γέγονεν. Εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων, ἐπεὶ ἡ χάρις,
οὐκέτι γίνεται χάρις. Εἰ δὲ ἐξ ἔργων, οὐκέτι ἐστὶ χάρις.
Ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔργον. Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ,
τοῦτο οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐ-
πωρώθησαν. καθὼς γέγραπται. Ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦ-
μα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀ-
κούειν, ἕως τῆς σήμερον ἡμέρας. καὶ Δαβὶδ λέγει. Γενηθή-
τω ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ εἰς θήραν, καὶ εἰς σκάνδα-
λον καὶ εἰς ἀνταπόδομα αὐτοῖς. σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ
αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.
Λέγω οὖν, μὴ ἔπταισαν, ἵνα πέσωσι; Μὴ γένοιτο, ἀλλὰ τῷ
αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶ-
σαι αὐτούς. εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥτ-
τημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν

Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν, ἐφ' ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, εἴπως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν. Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν; Εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι. Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὤν, ἐνεκεντρίσθης ἐν αὐτοῖς, καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου. Μὴ κατακαυχῶ τῶν κλάδων. Εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ. Ἐρεῖς οὖν ἐξεκλάσθησαν κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ. καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ πίστει ἕστηκας, μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. Εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσεται. ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας, ἀποτομίαν, ἐπὶ δὲ σὲ χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι, ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται. Δυνατὸς γάρ ἐστιν ὁ θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς. Εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου, καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι κατὰ φύσιν, ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ οὕτως πᾶς ἰσραὴλ σωθήσεται. καθὼς γέγραπται. ἥξει ἐκ σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ ἰακώβ. καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. Κατὰ μὲν τὸ εὐαγγέλιον, ἐχθροὶ δι' ὑμᾶς, κατὰ δὲ ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας. Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ θεοῦ. Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτε



ἠπειθήσατε τῷ θεῷ, νῦν δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει, ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι. Συνέκλεισε γὰρ ὁ θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ. Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. Τίς γὰρ ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

XII Κεφ. ιβ. Παρακαλῶ οὖν ὑμᾶς ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ. τὴν λογικὴν λατρείαν ὑμῶν. καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ θεοῦ, τὸ ἀγαθόν, καὶ εὐάρεστον καὶ τέλειον. Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν, εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως. Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθεῖς, ἀλλήλων μέλη. Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι. ἡ ἀγάπη ἀνυπόκριτος, ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, τῇ σπουδῇ μὴ ὀκνηροί, τῷ πνεύματι ζέοντες, τῷ καιρῷ

δουλεύοντες· τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες,
τῇ προσευχῇ προσκαρτεροῦντες, ταῖς χρείαις τῶν ἁγίων
κοινωνοῦντες, τὴν φιλοξενίαν διώκοντες. Εὐλογεῖτε τοὺς
διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε. Χαίρειν με-
τὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων, τὸ αὐτὸ εἰς ἀλλή-
λους φρονοῦντες. μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπει-
νοῖς συναπαγόμενοι. μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς, μη-
δενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοούμενοι καλὰ ἐνώ-
πιον πάντων ἀνθρώπων εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων
ἀνθρώπων εἰρηνεύοντες, μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί,
ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γάρ, ἐμοὶ ἐκδίκησις,
ἐγὼ ἀνταποδώσω, λέγει κύριος. Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός
σου, ψώμιζε αὐτόν. ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ ποι-
ῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. μὴ νι-
κῶ ὑπὸ τοῦ κακοῦ ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. Κ. ιγ.
XIII Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ
γάρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ θεοῦ. αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ
θεοῦ τεταγμέναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ,
τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν. οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς
κρῖμα λήψονται. οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν
ἔργων, ἀλλὰ τῶν κακῶν. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀ-
γαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. θεοῦ γὰρ διάκονός ἐστί σοι
εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ. οὐ γὰρ εἰκῇ τὴν μά-
χαιραν φορεῖ. θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ
τὸ κακὸν πράσσοντι. διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ
τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. διὰ τοῦτο γὰρ καὶ φό-
ρους τελεῖτε. λειτουργοὶ γὰρ θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρ-
τεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς. τῷ τὸν φόρον
τὸν φόρον. τῷ τὸ τέλος, τὸ τέλος. τῷ τὸν φόβον, τὸν φόβον, τῷ τὴν
τιμήν, τὴν τιμήν. μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν
ἀλλήλους. ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε. τὸ γάρ,
οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυ-
ρήσεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ
τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον
σου ὡς ἑαυτόν. ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται,
πλήρωμα οὖν νόμου, ἡ ἀγάπη. καὶ τοῦτο εἰδότες, τὸν και-
ρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι. Νῦν γὰρ ἐγγύτε-
ρον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. ἡ νὺξ προέκοψεν, ἡ
δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ
ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. ὡς ἐν ἡμέρᾳ εὐσχημόνως
περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελ-
γείαις, μὴ ἔριδι καὶ ζήλῳ, ἀλλ' ἐνδύσασθε τὸν κύριον Ἰησοῦν
Χριστόν. Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυ-
μίας. Κεφ. ιδ. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει, προσλαμ- XIIII
βάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φα-
γεῖν πάντα. ὁ δὲ ἀσθενῶν, λάχανα ἐσθίει. Ὁ ἐσθίων, τὸν μὴ
ἐσθίοντα μὴ ἐξουθενείτω. καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέ-
τω. Ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο, σὺ τίς εἶ, ὁ κρίνων ἀλλότρι-
ον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει, σταθήσεται δέ.
Δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν. ὃς μὲν κρίνει ἡμέραν
παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. Ἕκαστος ἐν τῷ ἰδίῳ
νοῒ πληροφορείσθω. ὁ φρονῶν τὴν ἡμέραν, κυρίῳ φρονεῖ. καὶ ὁ μὴ
φρονῶν τὴν ἡμέραν, κυρίῳ οὐ φρονεῖ. ὁ ἐσθίων κυρίῳ ἐσθίει,
εὐχαριστεῖ γὰρ τῷ θεῷ. καὶ ὁ μὴ ἐσθίων, κυρίῳ οὐκ ἐσθίει, καὶ
εὐχαριστεῖ τῷ θεῷ. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑ-
αυτῷ ἀποθνήσκει. Ἐάν τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν, ἐάν
τε ἀποθνήσκωμεν, τῷ κυρίῳ ἀποθνήσκομεν. Ἐάν τε οὖν ζῶ-
μεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χρι-

ςὸς καὶ ἀπέθανε, καὶ ἀνέστη, καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώ-
των κυριεύσῃ. Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; Ἢ καὶ σὺ, τί
ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βή-
ματι τοῦ Χριστοῦ. γέγραπται γάρ· ζῶ ἐγὼ λέγει κύριος, ὅτι ἐμοὶ
κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ θεῷ.
ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ. μη-
κέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ
μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον. Οἶδα καὶ
πέπεισμαι ἐν κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι᾽ ἑαυτοῦ, εἰ μὴ
τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν. Εἰ δὲ διὰ βρῶ-
μα ὁ ἀδελφός σου λυπεῖται, οὐκ ἔτι κατὰ ἀγάπην περιπατεῖς.
μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθα-
νε. Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν. Οὐ γάρ ἐστιν ἡ βα-
σιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰ-
ρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ. ὁ γὰρ ἐν τούτοις δουλεύων
τῷ Χριστῷ, εὐάρεστος τῷ θεῷ, καὶ δόκιμος τοῖς ἀνθρώποις.
ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς
εἰς ἀλλήλους. Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ.
Πάντα μὲν καθαρὰ, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ, τῷ διὰ προσκόμ-
ματος ἐσθίοντι. Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μη-
δὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται,
ἢ ἀσθενεῖ. Σὺ πίστιν ἔχεις; κατὰ σαυτὸν ἔχε ἐνώπιον τοῦ θεοῦ.
Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν, ἐν ᾧ δοκιμάζει. ὁ δὲ διακρι-
νόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως. πᾶν
XV δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν. Κ. ιε. Ὀφείλομεν
δὲ ἡμεῖς οἱ δυνατοὶ, τὰ ἀσθενήματα τῶν ἀδυνάτων βα-
στάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. ἕκαστος γὰρ ἡμῶν τῷ πλησί-
ον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. καὶ γὰρ ὁ Χριστὸς
οὐχ ἑαυτῷ ἤρεσεν. Ἀλλὰ καθὼς γέγραπται· οἱ ὀνειδισμοὶ



τῶν ὀνειδιζόντων σε, ἐπέπεσον ἐπ᾽ ἐμέ. Ὅσα γὰρ προεγρά-
φη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς
ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν.
ὁ δὲ θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ
αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, ἵνα ὁμοθυμα-
δὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν θεὸν, καὶ πατέρα τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ
Χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν θεοῦ. λέγω δὲ Ἰησοῦν
Χριστὸν, διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς
τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας θεοῦ τῶν πατέρων. τὰ δὲ ἔθνη ὑ-
πὲρ ἐλέους δοξάσαι τὸν θεόν. Καθὼς γέγραπται· Διὰ τοῦτο ἐξ-
ομολογήσομαί σοι ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ. καὶ πά-
λιν λέγει· Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ πάλιν· Αἰ-
νεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ
λαοί. καὶ πάλιν Ἡσαΐας λέγει· ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ
ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν. ὁ δὲ
θεὸς τῆς ἐλπίδος, πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρή-
νης ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν
δυνάμει πνεύματος ἁγίου. Πέπεισμαι δὲ ἀδελφοί μου, καὶ αὐ-
τὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπλη-
ρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν.
Τολμηρότερον δὲ ἔγραψα ὑμῖν ἀδελφοὶ ἀπὸ μέρους, ὡς ἐπ-
αναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ
τοῦ θεοῦ, εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη,
ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἵνα γένηται ἡ προσφορὰ
τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ.
Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν θεόν. Οὐ γὰρ τολ-
μήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο Χριστὸς δι᾽ ἐμοῦ, εἰς ὑπα-
κοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων,

ἐν δυνάμει πνεύματος θεοῦ, ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύ-
κλῳ μέχρι τοῦ Ἰλλυρικοῦ, πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ
Χριστοῦ. οὕτως δὲ φιλοτιμούμενον εὐαγγελίζεσθαι, οὐχ ὅπου
ὠνομάσθη Χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ.
ἀλλὰ καθὼς γέγραπται. οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ
οἳ οὐκ ἀκηκόασι συνήσουσι, διὸ καὶ ἐνεκοπτόμην τὰ πολ-
λὰ τοῦ ἐλθεῖν πρὸς ὑμᾶς. νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς
κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων, τοῦ ἐλθεῖν πρὸς ὑμᾶς
ἀπὸ πολλῶν ἐτῶν, ὡς ἐὰν πορεύωμαι εἰς τὴν σπανίαν, ἐλεύ-
σομαι πρὸς ὑμᾶς. ἐλπίζω γὰρ διαπορευόμενος, θεάσασθαι
ὑμᾶς, καὶ ὑφ' ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν ὑμῶν πρῶτον
ἀπὸ μέρους ἐμπλησθῶ. Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ
διακονῶν τοῖς ἁγίοις. εὐδόκησαν γὰρ μακεδονία καὶ ἀχα-
ΐα, κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων
τῶν ἐν Ἱερουσαλήμ. εὐδόκησαν γὰρ καὶ ὀφειλέται αὐτῶν εἰ-
σίν. εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη,
ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. τοῦτο
οὖν ἐπιτελέσας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦ-
τον, ἀπελεύσομαι δι' ὑμῶν εἰς τὴν σπανίαν. οἶδα δὲ, ὅτι
ἐρχόμενος πρὸς ὑμᾶς, ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγε-
λίου τοῦ Χριστοῦ ἐλεύσομαι. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ,
διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ
πνεύματος, συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ
ἐμοῦ. πρὸς τὸν θεὸν, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ ἰου-
δαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ, εὐπρόσδε-
κτος γένηται τοῖς ἁγίοις, ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς, διὰ
θελήματος θεοῦ, καὶ συναναπαύσωμαι ὑμῖν. ὁ δὲ θεὸς τῆς εἰ-
XVI ρήνης, μετὰ πάντων ὑμῶν. ἀμήν. Κεφ. ις. Συνίστημι
δὲ ὑμῖν φοίβην, τὴν ἀδελφὴν ἡμῶν, οὖσαν διάκονον τῆς



ἐκκλησίας τῆς ἐν κεγχρεαῖς, ἵνα αὐτὴν προσδέξησθε ἐν κυ-
ρίῳ, ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρή-
ζῃ πράγματι. καὶ γὰρ αὕτη προστάτις πολλῶν ἐγενήθη, καὶ αὐ-
τοῦ ἐμοῦ. Ἀσπάσασθε Πρίσκαν καὶ ἀκύλαν, τοὺς συνεργούς
μου ἐν Χριστῷ Ἰησοῦ, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν
τράχηλον ὑπέθηκαν. οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶ-
σαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν, καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλη-
σίαν. Ἀσπάσασθε ἐπαίνετον τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρ-
χὴ τῆς ἀχαΐας ἐν Χριστῷ. Ἀσπάσασθε Μαριὰμ, ἥτις πολ-
λὰ ἐκοπίασεν εἰς ἡμᾶς. ἀσπάσασθε ἀνδρόνικον καὶ ἰουνίαν, τοὺς
συγγενεῖς μου, καὶ συναιχμαλώτους μου, οἵτινές εἰσιν ἐπί-
σημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χρι-
στῷ. Ἀσπάσασθε ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν κυρίῳ. Ἀσπά-
σασθε οὐρβανὸν, τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ, καὶ στάχυν τὸν
ἀγαπητόν μου. Ἀσπάσασθε ἀπελλῆν, τὸν δόκιμον ἐν Χριστῷ.
ἀσπάσασθε τοὺς ἐκ τῶν ἀριστοβούλου. ἀσπάσασθε ἡρωδίωνα τὸν
συγγενῆ μου. ἀσπάσασθε τοὺς ἐκ τῶν ναρκίσσου τοὺς ὄντας ἐν
κυρίῳ. ἀσπάσασθε τρύφαιναν καὶ τρυφῶσαν, τὰς κοπιώσας ἐν
κυρίῳ. ἀσπάσασθε περσίδα τὴν ἀγαπητὴν, ἥτις πολλὰ ἐκο-
πίασεν ἐν κυρίῳ. Ἀσπάσασθε ῥοῦφον τὸν ἐκλεκτὸν ἐν κυρίῳ, καὶ
τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. ἀσπάσασθε ἀσύγκριτον, Φλέγοντα,
ἑρμᾶν, πατρόβαν, ἑρμῆν, καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. Ἀσπά-
σασθε φιλόλογον, καὶ ἰουλίαν, νηρέα, καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ
ὀλυμπᾶν, καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. Ἀσπάσασθε ἀλ-
λήλους ἐν φιλήματι ἁγίῳ. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τοῦ
Χριστοῦ. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ, σκοπεῖν τοὺς τὰς δι-
χοστασίας, καὶ τὰ σκάνδαλα, παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς ἐ-
μάθετε, ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. Οἱ γὰρ τοιοῦτοι, τῷ
κυρίῳ Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ

διὰ τῆς χρηστολογίας, καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. Ἡ γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. Χαίρω οὖν τὸ ἐφ᾽ ὑμῖν, θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν. Ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν, ἐν τάχει. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ᾽ ὑμῶν. Ἀσπάζονται ὑμᾶς Τιμόθεος ὁ συνεργός μου, καὶ Λούκιος, καὶ Ἰάσων, καὶ Σωσίπατρος οἱ συγγενεῖς μου. Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος, ὁ γράψας τὴν ἐπιστολὴν ἐν κυρίῳ. Ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς ἐκκλησίας ὅλης. Ἀσπάζεται ὑμᾶς Ἔραστος, ὁ οἰκονόμος τῆς πόλεως, καὶ Κούαρτος ὁ ἀδελφός. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν. Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου, καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου, χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά τε γραφῶν προφητικῶν, κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Πρὸς Ῥωμαίους.

Ἐγράφη ἀπὸ Κορίνθου διὰ Φοίβης τῆς διακόνου τῆς ἐν Κεγχρεαῖς ἐκκλησίας.



## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ἐφέσου τῆς Ἀσίας, ἑωρακὼς αὐτοὺς ἤδη καὶ διδάξας. ὑπομιμνήσκων δὲ ὅμως διὰ τῆς ἐπιστολῆς ταύτης. Ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. Κορίνθιοι ἐκ φιλονεικίας συναγόμενοι, ἐσχίζοντο ταῖς γνώμαις, καὶ λοιπὸν ἦν ἐν αὐτοῖς σχίσματα. καὶ ὄντων σχισμάτων, παρεβλέποντο τὸν λαβόντα τὴν μητρυιάν. ἄλλοι δὲ ἤθελον καταλιμπάνειν τὰς ἰδίας γυναῖκας, προφάσει τῆς ἐγκρατείας. τινὲς δὲ καὶ ἐν εἰδωλείοις ἤσθιον, ὡς ἀδιαφόρων ὄντων τῶν εἰδωλοθύτων. ἄλλοι δὲ τοὺς μὲν ἄλλους ἐξουθένουν, τοὺς δὲ λαλοῦντας γλώσσαις ἐθαύμαζον. καὶ τέλος ἠπάτηντο καὶ εἰς τὸ περὶ ἀναστάσεως μυστήριον, λέγοντες, μὴ ἐγείρεσθαι τὴν σάρκα ταύτην. Τούτων πάντων ἐν Κορίνθῳ κινουμένων, γράφουσιν οἱ λαοὶ τῷ ἀποστόλῳ, καὶ λοιπὸν πρὸς πάντα ἀντιγράφει, καὶ πρῶτον μὲν μαρτυρεῖ αὐτοῖς ἐν φωνῇ καὶ γνώσει. Οὐκ ἀποδέχεται δὲ αὐτοὺς ποιοῦντας τὰ σχίσματα, ἀλλὰ καὶ συμβουλεύει μὴ ἐν λόγῳ τὴν ἀρετήν, ἀλλ᾽ ἐν ἔργῳ καὶ δυνάμει ἡγεῖσθαι. ἔπειτα ἐπιτιμήσας τῷ τὴν μητρυιὰν λαβόντι, καὶ παραινέσας μὴ ἔχειν κρίματα πρὸς ἑαυτούς. λοιπὸν περὶ ὧν ἔγραψαν ἀποκρίνεται, περὶ μὲν τοῦ γάμου διδάσκων ἀρέσκον εἶναι τὴν συζυγίαν, καὶ ἐν καιρῷ μόνῳ σχολάζειν διὰ τὴν εὐχήν, διὰ δὲ

ἀγαπᾶν αὐτοὺς τὴν ἐγκράτειαν. Γράφει περὶ παρθενίας, ἵνα
ἐν κατὰ ἀνάγκην, ἀλλὰ πειθοῖ τοῦτο γίνεσθαι. εἶτα περὶ τῶν εἰ-
δωλοθύτων, ἵνα μὴ καταχρῶνται τῇ γνώσει, ἀλλὰ τῇ ἀγάπῃ
πολιτεύωνται. κωλύει ἔξω τὰ ἐν εἰδωλείῳ συμπόσια, ἵνα μὴ
σκανδαλίζωνται οἱ μικροί. εἶτα περὶ τῶν πνευματικῶν χαρι-
σμάτων γράφει, ἵνα μὴ διαφέρωνται ἐν τοῖς χαρίσμασι,
μὴ δὲ προκρίνωσι τὸν ἔχοντα χάρισμα τόδε, τοῦ ἔχοντος
τόδε. πάντα γὰρ τοῦ αὐτοῦ πνεύματος εἶναι λέγει. καὶ λοι-
πὸν περὶ ἀναστάσεως διδάσκει, ὅτι ἡ σὰρξ ἐγείρεται, ἀπο-
θνήσκουσα μὲν φθαρτή, ἐγειρομένη δὲ ἄφθαρτος κατὰ τὴν
τοῦ θεοῦ χάριν. τὴν δὲ ἀνάστασιν, ἀπὸ τοῦ ἐγηγέρθαι τὸν Χρι-
στὸν, συνίστησι. καὶ τέλος, παραινετικοὺς λόγους εἰς τὰ ἤθη
γράφει, καὶ περὶ λογίας τῆς εἰς τοὺς ἁγίους παραγ-
γέλλει, καὶ οὕτως τελειοῖ τὴν
ἐπιστολήν.





# ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝ ΘΙΟΥΣ ΠΡΩΤΗ.

Κεφάλαιον πρῶτον.

ΑΥΛΟΣ κλητὸς ἀπόστολος Ἰησοῦ Χρι-
στοῦ, διὰ θελήματος θεοῦ, καὶ σωσθένης
π ὁ ἀδελφὸς, ἐκκλησίᾳ τοῦ θεοῦ, τῇ οὔσῃ
ἐν κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰη-
σοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπι-
καλουμένοις τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰη-
σοῦ Χριστοῦ, ἐν παντὶ τόπῳ, αὐτῶν τε καὶ ἡμῶν. Χάρις ὑ-
μῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χρι-
στοῦ. Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάρι-
τι τοῦ θεοῦ, τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐ-
πλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ, καὶ πάσῃ γνώσει, κα-
θὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, ὥστε ὑμᾶς
μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀ-
ποκάλυψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς καὶ βεβαιώσει
ὑμᾶς ἕως τέλους, ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ. Πιστὸς ὁ θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν
τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Παρακαλῶ β
δὲ ὑμᾶς ἀδελφοὶ, διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσμα-
τα. ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ, καὶ ἐν τῇ αὐτῇ γνώ-
μῃ. Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ἀδελφοί μου, ὑπὸ τῶν
χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος
ὑμῶν λέγει. Ἐγὼ μέν εἰμι παύλου, ἐγὼ δὲ ἀπολλῶ, ἐγὼ δὲ
κηφᾶ, ἐγὼ δὲ χριστοῦ. Μεμέρισται ὁ Χριστός; Μὴ παῦλος ἐ-
σταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα παύλου ἐβαπτίσθητε; Εὐχα-

ριστῶ τῷ θεῷ, ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γαΐ-
ον, ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. ἐβάπτισα
δὲ καὶ τὸν Στεφανᾶ οἶκον. λοιπὸν οὐκ οἶδα, εἴ τινα ἄλλον ἐβάπτι-
σα. Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι,
οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.
Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις, μωρία
ἐστὶ, τοῖς δὲ σωζομένοις ὑμῖν, δύναμις θεοῦ ἐστι. Γέγρα-
πται γὰρ, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν
συνετῶν ἀθετήσω. Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζη-
τητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ
κόσμου τούτου; ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ, οὐκ ἔγνω ὁ κόσμος
διὰ τῆς σοφίας τὸν θεὸν, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας
τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἐπειδὴ καὶ Ἰουδαῖοι ση-
μεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν. Ἡμεῖς δὲ κηρύσσο-
μεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι
δὲ μωρίαν. Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι,
Χριστὸν θεοῦ δύναμιν, καὶ θεοῦ σοφίαν. Ὅτι τὸ μωρὸν τοῦ θεοῦ
σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρό-
τερον τῶν ἀνθρώπων ἐστί. Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν ἀδελ-
φοὶ, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοὶ, οὐ
πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο
ὁ θεὸς, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. καὶ τὰ ἀγενῆ τοῦ κό-
σμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεὸς, καὶ τὰ μὴ ὄν-
τα, ἵνα τὰ ὄντα καταργήσῃ. ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ
ἐνώπιον αὐτοῦ. ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε, ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενή-
θη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύ-
τρωσις. ἵνα καθὼς γέγραπται, ὁ καυχώμενος, ἐν κυρίῳ καυχά-
II σθω. Κ. Β. Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς ἀδελφοὶ, ἦλθον οὐ καθ'
ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ
θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν
καὶ τοῦτον ἐσταυρωμένον. καὶ ἐγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν φόβῳ, καὶ
ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς, καὶ ὁ λόγος μου, καὶ τὸ cc
κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις,
ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν
μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει θεοῦ. Σοφίαν cc
δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τού-
του, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργου-
μένων. ἀλλὰ λαλοῦμεν σοφίαν θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκε-
κρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων, εἰς δόξαν ἡ-
μῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ
ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ἀλλὰ κα-
θὼς γέγραπται. ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ
ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγα-
πῶσιν αὐτόν. Ἡμῖν δὲ ὁ θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος
αὐτοῦ. τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. τίς
γὰρ οἶδεν ἀνθρώπων, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώ-
που τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ θεοῦ, οὐδεὶς οἶδεν, εἰ μὴ
τὸ πνεῦμα τοῦ θεοῦ. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλά-
βομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ
τοῦ θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς
ἀνθρωπίνης σοφίας λόγοις. ἀλλ' ἐν διδακτοῖς πνεύμα-
τος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. ψυχι-
κὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ.
μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματι-
κῶς ἀνακρίνεται. ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα,
αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. Τίς γὰρ ἔγνω νοῦν κυ-
ρίου, ὃς συμβιβάσει αὐτόν; Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

III Κεφ. γ. Καὶ ἐγὼ ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν,
ὡς πνευματικοῖς. ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ.
γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα. Οὔπω γὰρ ἠδύνασθε, ἀλλ'
οὔτε ἔτι νῦν δύνασθε. ἔτι γὰρ σαρκικοί ἐστε. ὅπου γὰρ ἐν ὑμῖν
ζῆλος καὶ ἔρις, καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ
ἄνθρωπον περιπατεῖτε; ὅταν γὰρ λέγῃ τις, ἐγὼ μέν εἰμι Παύ-
λου· ἕτερος δὲ ἐγὼ Ἀπολλώ, οὐχὶ σαρκικοί ἐστε; τίς οὖν ἐστὶ
Παῦλος; τίς δὲ Ἀπολλώς; ἀλλ' ἢ διάκονοι, δι' ὧν ἐπιστεύ-
σατε, καὶ ἑκάστῳ ὡς ὁ κύριος ἔδωκεν. ἐγὼ ἐφύτευσα, Ἀπολ-
λὼς ἐπότισεν, ἀλλ' ὁ θεὸς ηὔξανεν, ὥστε οὔτε ὁ φυτεύων
ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων θεός. ὁ φυτεύων
δὲ, καὶ ὁ ποτίζων, ἕν εἰσιν· ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψε-
ται κατὰ τὸν ἴδιον κόπον. Θεοῦ γάρ ἐσμεν συνεργοί. θε-
οῦ γεώργιον, θεοῦ οἰκοδομή ἐστε, κατὰ τὴν χάριν τοῦ θεοῦ,
τὴν δοθεῖσάν μοι. ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον τέθεικα,
ἄλλος δὲ ἐποικοδομεῖ. ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδο-
μεῖ, θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι, παρὰ τὸν κεί-
μενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός. εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν
θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα,
χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται, ἡ γὰρ
ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται. καὶ ἑκάστου τὸ
ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει. εἴ τινος τὸ ἔργον μένει
ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται, εἴ τινος τὸ ἔργον κατακαή-
σεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ, ὡς
διὰ πυρός. Οὐκ οἴδατε, ὅτι ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα
τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦ-
τον ὁ θεός. ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑ-
μεῖς. Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. Εἴ τις δοκεῖ σοφὸς
εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται



σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐσ-
τι. Γέγραπται γάρ. Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ παν-
ουργίᾳ αὐτῶν. καὶ πάλιν, κύριος γινώσκει τοὺς διαλογισμοὺς
τῶν σοφῶν ὅτι εἰσὶ μάταιοι. Ὥστε μηδεὶς καυχάσθω ἐν
ἀνθρώποις, πάντα γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλώς,
εἴτε Κηφᾶς, εἴτε κόσμος, εἴτε ζωή, εἴτε θάνατος, εἴτε ἐνεστῶ-
τα, εἴτε μέλλοντα, πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χρι- IIII
στὸς δὲ θεοῦ. Κεφ. δ. Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος,
ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων θεοῦ. ὃ δὲ λοι-
πὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. Ἐμοὶ
δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπί-
νης ἡμέρας. ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. οὐδὲν γὰρ ἐμαυ-
τῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. Ὁ δὲ ἀνακρί-
νων με, κύριός ἐστιν. Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν
ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φα-
νερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενή-
σεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ. Ταῦτα δὲ ἀδελφοὶ μετεσχη-
μάτισα εἰς ἐμαυτὸν, καὶ Ἀπολλὼ δι' ὑμᾶς, ἵνα ἐν ὑμῖν μά-
θητε, τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑ-
νὸς μὴ φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. Τίς γάρ σε διακρίνει; τί
δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς
μὴ λαβών; ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε, χωρὶς
ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡ-
μεῖς ὑμῖν συμβασιλεύσωμεν. Δοκῶ γὰρ ὅτι ὁ θεὸς ἡμᾶς
τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους. ὅτι
θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις.
ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ. ἡ-
μεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί. ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ
ἄτιμοι. ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ

γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶ-
μεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. λοιδορούμενοι, εὐλο-
γοῦμεν. διωκόμενοι, ἀνεχόμεθα. βλασφημούμενοι, παρακα-
λοῦμεν. ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν πάντων
περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ'
ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς
ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας. ἐν γὰρ Χριστῷ Ἰη-
σοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. παρακαλῶ οὖν ὑ-
μᾶς, μιμηταί μου γίνεσθε. Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον,
ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν κυρίῳ, ὃς ὑμᾶς ἀναμνή-
σει τὰς ὁδούς μου, τὰς ἐν Χριστῷ. Καθὼς πανταχοῦ ἐν πά-
σῃ ἐκκλησίᾳ διδάσκω, ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς,
ἐφυσιώθησάν τινες. Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ
κύριος θελήσῃ, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων,
ἀλλὰ τὴν δύναμιν. οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ, ἀλλ'
ἐν δυνάμει. τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγά-
V πῃ πνεύματί τε πρᾳότητος; Κεφ. ε. Ὅλως ἀκούεται ἐν
ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν
ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. Καὶ ὑμεῖς πε-
φυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ
μέσου ὑμῶν, ὁ τὸ ἔργον τοῦτο ποιήσας. Ἐγὼ μὲν γάρ, ὡς
ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς
παρών, τὸν οὕτως τοῦτο κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ κυ-
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύ-
ματος, σὺν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦ-
ναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ
πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ. Οὐ καλὸν τὸ καύ-
χημα ὑμῶν. οὐκ οἴδατε, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;
Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα,



καθώς ἐστε ἄζυμοι, καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χρι-
στός. Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακί-
ας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.
Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις, καὶ
οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς πλεονέκταις,
ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις. ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κό-
σμου ἐξελθεῖν. νυνὶ δὲ ἔγραψα ὑμῖν, μὴ συναναμίγνυσθαι.
ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ
εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιού-
τῳ μηδὲ συνεσθίειν. Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; Οὐχὶ
τοὺς ἔσω ὑμεῖς κρίνετε; Τοὺς δὲ ἔξω ὁ θεὸς κρίνει. καὶ ἐξαρεῖ-
τε τὸν πονηρὸν, ἐξ ὑμῶν αὐτῶν. Κεφ. ς. Τολμᾷ τις ὑμῶν, πρᾶ- VI
γμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ
ἐπὶ τῶν ἁγίων. Οὐκ οἴδατε, ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦ-
σι; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐ-
λαχίστων; Οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε
βιωτικά; Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθε-
νημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε. πρὸς ἐντροπὴν ὑ-
μῖν λέγω. οὕτως οὐκ ἔστιν ἐν ὑμῖν σοφός; οὐδὲ εἷς, ὃς δυνή-
σεται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ; ἀλλὰ ἀδελ-
φὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων; Ἤδη μὲν
οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυ-
τῶν. διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον
ἀποστερεῖσθε; ἀλλὰ ὑμεῖς ἀδικεῖτε, καὶ ἀποστερεῖτε, καὶ
ταῦτα ἀδελφούς; Ἢ οὐκ οἴδατε, ὅτι ἄδικοι βασιλείαν
θεοῦ οὐ κληρονομήσουσι; μὴ πλανᾶσθε. Οὔτε πόρνοι, οὔτε εἰ-
δωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται,
οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι,
οὐχ ἅρπαγες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. καὶ ταῦτά τι-

νοι ἦτε, ἀλλὰ ἀπελούσασθε· ἀλλὰ ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα, οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ, καὶ ὁ κύριος τῷ σώματι. ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; μὴ γένοιτο. ἢ οὐκ οἴδατε, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν. ὁ δὲ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμά ἐστι. Φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν. ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν, ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν

VII τῷ πνεύματι ὑμῶν ἅτινά ἐστι τοῦ θεοῦ. Κεφ. ζ. Περὶ δὲ ὧν ἐγράψατέ μοι. Καλὸν ἀνθρώπῳ, γυναικὸς μὴ ἅπτεσθαι. διὰ δὲ τὰς πορνείας, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ. ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. Τοῦτο δὲ λέγω



κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. Θέλω γὰρ πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν. ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως. Λέγω δὲ τοῖς ἀγάμοις, καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ. εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν. Κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγώ, ἀλλὰ ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι. Ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω, καὶ ἄνδρα, γυναῖκα μὴ ἀφιέναι. Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ κύριος. Εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. καὶ γυνή, ἥτις ἔχει ἄνδρα ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν. Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί. ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστι, νῦν δὲ ἅγιά ἐστιν. εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. τί γὰρ οἶδας γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; εἰ μή, ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεός, ἕκαστον ὡς κέκληκεν ὁ κύριος, οὕτως περιπατείτω. καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι. περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω. ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ περιτεμνέσθω. ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν θεοῦ. Ἕκαστος ἐν τῇ κλήσει, ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. δοῦλος ἐκλήθης; μή σοι μελέτω, ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. ὁ γὰρ ἐν κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος κυρίου ἐστίν. ὁμοίως καὶ ὁ ἐλεύθερος κληθείς, δοῦλός ἐστι Χριστοῦ. τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. Ἕκαστος ἐν ᾧ ἐκλή

θη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ θεῷ. Περὶ δὲ τῶν παρ-
θένων ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι, ὡς ἠλε-
ημένος ὑπὸ κυρίου πιστὸς εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρ-
χειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην. ὅτι καλὸν ἀνθρώπῳ, τὸ οὕτως
εἶναι. δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. λέλυσαι ἀπὸ γυναι-
κός; μὴ ζήτει γυναῖκα. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες.
καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε. θλίψιν δὲ τῇ σαρκὶ
ἕξουσιν οἱ τοιοῦτοι. ἐγὼ δὲ ὑμῶν φείδομαι. τοῦτο δέ φημι ἀδελ-
φοί, ὁ καιρὸς συνεσταλμένος. τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχον-
τες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι. καὶ οἱ κλαίοντες, ὡς
μὴ κλαίοντες. καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες. καὶ οἱ ἀγο-
ράζοντες, ὡς μὴ κατέχοντες. καὶ οἱ χρώμενοι τῷ κόσμῳ τού-
τῳ, ὡς μὴ καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου
τούτου. θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ
τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ. ὁ δὲ γαμήσας μεριμνᾷ τὰ
τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. μεμέρισται ἡ γυνὴ καὶ ἡ
παρθένος. ἡ ἄγαμος, μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώ-
ματι καὶ πνεύματι, ἡ δὲ γαμήσασα, μεριμνᾷ τὰ τοῦ κόσμου,
πῶς ἀρέσει τῷ ἀνδρί. τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον
λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχη-
μον καὶ εὐπρόσεδρον τῷ κυρίῳ ἀπερισπάστως. Εἰ δέ τις ἀ-
σχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ
οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει, γα-
μείτωσαν. ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ, μὴ ἔχων ἀνά-
γκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρι-
κεν ἐν τῇ καρδίᾳ αὐτοῦ, τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς
ποιεῖ. ὥστε ὁ ἐκγαμίζων καλῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων
κρεῖσσον ποιεῖ. Γυνὴ δέδεται νόμῳ, ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ
αὐτῆς, ἐὰν δὲ καὶ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει



γαμηθῆναι, μόνον ἐν κυρίῳ. μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτως
μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην. δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ
ἔχειν. Κεφ. η. Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν, ὅτι VIII
πάντες γνῶσιν ἔχομεν. ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκο-
δομεῖ. εἰ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε, κα-
θὼς δεῖ γνῶναι. εἰ δέ τις ἀγαπᾷ τὸν θεόν, οὗτος ἔγνωσται ὑπ᾽
αὐτοῦ. Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι οὐ-
δὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς.
καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς
γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοί, καὶ κύριοι πολλοί, ἀλλ᾽ ἡμῖν εἷς
θεός, ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς κύ-
ριος Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα, καὶ ἡμεῖς δι᾽ αὐτοῦ. ἀλλ᾽
οὐκ ἐν πᾶσιν ἡ γνῶσις. τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου
ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν
ἀσθενὴς οὖσα, μολύνεται. βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ.
οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν. οὔτε ἐὰν μὴ φάγωμεν,
ὑστερούμεθα. βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομ-
μα γένηται τοῖς ἀσθενοῦσιν. Ἐὰν γάρ τις ἴδῃ σε, τὸν ἔχοντα
γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ
ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;
Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι᾽ ὃν
Χριστὸς ἀπέθανεν. οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελ-
φούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χρι-
στὸν ἁμαρτάνετε. διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελ-
φόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελ-
φόν μου σκανδαλίσω. Κεφ. θ. Οὐκ εἰμὶ ἀπόστολος; οὐκ IX
εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν κύριον ἡμῶν ἑώρα-
κα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστὲ ἐν κυρίῳ; εἰ ἄλλοις οὐκ εἰ-
μὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί. Ἡ γὰρ σφραγὶς τῆς ἐ-

μοῦ ἀποστολῆς, ὑμεῖς ἐστὲ ἐν κυρίῳ. Ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστί. μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου, καὶ κηφᾶς; ἢ μόνος ἐγὼ καὶ βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τῷ μωσέως νόμῳ γέγραπται. Οὐ φιμώσεις βοῦν ἀλοῶντα, μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν, ἀροτριᾶν. καὶ ὁ ἀλοῶν, τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι. εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Οὐκ οἴδατε, ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται; οὕτως καὶ ὁ κύριος διέταξε, τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν. ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων. οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτως γένηται ἐν ἐμοί. καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα. ἀνάγκη γάρ μοι ἐπίκειται. οὐαὶ δέ μοι ἐστίν, ἐὰν μὴ εὐαγγελίζωμαι. εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω, εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος, ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ. Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. καὶ ἐγενόμην τοῖς ἰουδαίοις, ὡς ἰουδαῖος ἵνα ἰουδαίους κερδήσω, τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον ἵνα τοὺς ὑπὸ νόμον κερδήσω, τοῖς ἀνόμοις, μὴ ὢν ἄνομος θεῷ, ἀλλ' ἔννομος Χριστῷ ἵνα κερδήσω ἀνόμους. Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. τοῖς πᾶσι γέγονα τὰ πάντα ἵνα πάντως τινὰς σώσω. τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. Οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτως τρέχετε, ἵνα καταλάβητε. πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν. ἡμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτως τρέχω, ὡς οὐκ ἀδήλως, οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων; ἀλλ' ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Κεφ. ι. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν X
ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν μωσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ. καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον. καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός. κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. μὴ δὲ εἰδωλολάτραι γίνεσθε. καθώς τινες αὐτῶν, ὡς γέγραπται, ἐκάθισεν ὁ λαὸς φαγεῖν. Καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν, μὴ δὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν. καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. μὴ δὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθὼς

καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. μηδὲ γογγύζετε, καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος. Πιστὸς δὲ ὁ θεὸς ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι, ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν, διόπερ ἀγαπητοί μου φεύγετε ἀπὸ τῆς εἰδωλολατρίας, ὡς φρονίμοις λέγω, κρίνατε ὑμεῖς ὅ φημι. Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστί; Τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· Οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί; Τί οὖν φημι, ὅτι εἴδωλόν τί ἐστιν; ἢ ὅτι εἰδωλόθυτόν τί ἐστιν; ἀλλ᾽ ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ θεῷ. Οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι. Οὐ δύνασθε ποτήριον κυρίου πίνειν καὶ ποτήριον δαιμονίων. Οὐ δύνασθε τραπέζης κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. Ἢ παραζηλοῦμεν τὸν κύριον; Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμέν; Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες, διὰ τὴν συνείδησιν. Τοῦ γὰρ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. Ἐὰν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, δι᾽ ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν, τοῦ γὰρ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; Εἰ δὲ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. ἀπρόσκοποι γίνεσθε, καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι.

Κεφάλαιον ια. Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. XI
Ἐπαινῶ δὲ ὑμᾶς ἀδελφοί, ὅτι πάντα μου μέμνησθε. καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε. Θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλή, ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικός, ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ, ὁ θεός. Πᾶς ἀνὴρ προσευχόμενος, ἢ προφητεύων, κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς. ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. εἰ γὰρ οὐ κατακαλύπτεται γυνή, καὶ κειράσθω. εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω. Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν. εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων. Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός. Καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους, πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ. ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός, τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ. Ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον

τῷ θεῷ προσεύχεσθαι; ἢ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς,
ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ,
δόξα αὐτῇ ἐστιν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται. εἰ
δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν
οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ. Τοῦτο δὲ παραγγέλλων
οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχε-
σθε. Πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀ-
κούω, σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω. δεῖ
γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι, φανεροὶ γένων-
ται ἐν ὑμῖν. Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔστι κυ-
ριακὸν δεῖπνον φαγεῖν, ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμ-
βάνει ἐν τῷ φαγεῖν. καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. μὴ γὰρ οἰ-
κίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας
τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τί
ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς; ἐν τούτῳ οὐκ ἐπαινῶ. Ἐγὼ γὰρ πα-
ρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰ-
ησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστή-
σας ἔκλασε, καὶ εἶπε. λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα. τὸ
ὑπὲρ ὑμῶν κλώμενον, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.
ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων, τοῦτο τὸ πο-
τήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι, τοῦτο ποιεῖτε
ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσ-
θίητε τὸν ἄρτον τοῦτον. καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον
τοῦ κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. Ὥστε ὃς ἂν ἐσθίῃ
τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος
ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου. Δοκιμαζέτω δὲ ἄνθρω-
πος ἑαυτὸν. καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου
πινέτω. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει
καὶ πίνει. μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. Διὰ τοῦτο ἐν ὑμῖν

πολλοὶ



πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυ-
τοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. κρινόμενοι δὲ ὑπὸ κυ-
ρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.
Ὥστε ἀδελφοί μου συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκ-
δέχεσθε. Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα
συνέρχησθε. τὰ δὲ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι. Κ.ιβ. XII
Περὶ δὲ τῶν πνευματικῶν ἀδελφοὶ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. οἴ-
δατε ὅτι ὅτε ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγε-
σθε ἀπαγόμενοι. διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν πνεύματι θε-
οῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν, καὶ οὐδεὶς δύναται εἰπεῖν
κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. Διαιρέσεις δὲ χαρισμά-
των εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν εἰσὶ, καὶ
ὁ αὐτὸς κύριος. Καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐ-
τός ἐστι θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. Ἑκάστῳ δὲ δί-
δοται ἡ φανέρωσις τοῦ πνεύματος, πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ
τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως,
κατὰ τὸ αὐτὸ πνεῦμα. ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ πνεύματι,
ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ πνεύματι,
ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ
δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ
ἑρμηνεία γλωσσῶν. πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ
πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. Καθάπερ
γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλὰ, πάντα δὲ τὰ μέλη τοῦ
σώματος τοῦ ἑνὸς, πολλὰ ὄντα, ἕν ἐστι σῶμα, οὕτω καὶ ὁ Χρι-
στός, καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα
ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε
ἐλεύθεροι, καὶ πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν. καὶ γὰρ τὸ
σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. ἐὰν εἴπῃ ὁ πούς, ὅτι
οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν

ἐκ τοῦ σώματος; καὶ ἐὰν εἴπῃ τὸ οὖς, ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; Εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις; νυνὶ δὲ ὁ θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν. εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; Νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, χρείαν σου οὐκ ἔχω. ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω, ἀλλὰ πολλῷ μᾶλλον, τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι. καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν. καὶ τὰ ἀσχήμονα ἡμῶν, εὐσχημοσύνην περισσοτέραν ἔχει. τὰ δὲ εὐσχήμονα ἡμῶν, οὐ χρείαν ἔχει. ἀλλ' ὁ θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν, ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη. καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. Ὑμεῖς δέ ἐστε σῶμα χριστοῦ, καὶ μέλη ἐκ μέρους. καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν
XIII ὁδὸν ὑμῖν δείκνυμι. Κεφ. ιγ. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ



ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται. ἡ ἀγάπη οὐ ζηλοῖ. ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. Εἴτε δὲ προφητεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται. Ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν, ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην. ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα, μείζων δὲ τούτων ἡ ἀγά-
πη. Κεφ. ιδ. Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευ- XIIII
ματικά, μᾶλλον δὲ ἵνα προφητεύητε. Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ θεῷ. Οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια. Ὁ δὲ προφητεύων, ἀνθρώποις λαλεῖ οἰκοδομήν, καὶ παράκλησιν, καὶ παραμυθίαν. ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ προφητεύων, ἐκκλησίαν οἰκοδομεῖ. Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε. μείζων γὰρ ὁ προφητεύων, ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ. Νυνὶ δὲ ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω; ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν ἀ-

ποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ; ὅμως τὰ ἄψυχα φωνὴν διδόντα εἴτε αὐλὸς, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον, ἢ τὸ κιθαριζόμενον; καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; οὕτως καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες. τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον. ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος καὶ ὁ λαλῶν, ἐν ἐμοὶ βάρβαρος. οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε, ἵνα περισσεύητε. διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω, ἵνα διερμηνεύῃ. ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ. ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμὴν, ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ, τί λέγεις, οὐκ οἶδε. σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται. εὐχαριστῶ τῷ θεῷ μου, πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ. ἀδελφοὶ μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε. ἐν τῷ νόμῳ γέγραπται. ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει κύριος. ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις. ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλ-



θωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε; ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ θεῷ, ἀπαγγέλλων, ὅτι ὁ θεὸς ὄντως ἐν ὑμῖν ἐστι. τί οὖν ἐστιν ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει. πάντα πρὸς οἰκοδομὴν γινέσθω. εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο, ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω. ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ θεῷ. Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν. ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι καὶ πάντες παρακαλῶνται, καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ θεὸς, ἀλλ' εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων. Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν. οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι. καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν. ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν; εἴ τις δοκεῖ προφήτης εἶναι, ἢ πνευματικὸς, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι κυρίου εἰσὶν ἐντολαί. εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. ὥστε ἀδελφοὶ, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε. πάντα εὐσχημόνως, καὶ κατὰ τάξιν γινέσθω.

Κ. ιε. Γνωρίζω δὲ ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον, ὃ εὐηγγελισά- XV
μην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε,
τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ

ἐπιστεύσατε. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γραφάς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς, καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα, ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ. ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι. τινὲς δὲ καὶ ἐκοιμήθησαν. ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν. Ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ. Χάριτι δὲ θεοῦ εἰμι, ὅ εἰμι. καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα. οὐκ ἐγὼ δὲ, ἀλλ᾽ ἡ χάρις τοῦ θεοῦ, ἡ σὺν ἐμοί. Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτως κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε. Εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται, εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ, ὅτι ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται. Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται. Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν. ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, ἀπώλοντο. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες



ζωοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι, ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρὶ, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν, καὶ πᾶσαν ἐξουσίαν, καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δηλονότι, ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται, τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἐπεὶ τί ποιήσουσιν, οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; Τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; Καθ᾽ ἡμέραν ἀποθνήσκω, νὴ τὴν ἡμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. μὴ πλανᾶσθε. φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε. Ἀγνωσίαν γὰρ θεοῦ τινὲς ἔχουσι. πρὸς ἐντροπὴν ὑμῖν λέγω. ἀλλ᾽ ἐρεῖ τις. πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; ἄφρον σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἤ τινος τῶν λοιπῶν. ὁ δὲ θεὸς αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. οὐ πᾶσα σὰρξ, αὐτὴ σάρξ, ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. καὶ σώματα ἐπουράνια. καὶ σώματα ἐπίγεια. ἀλλ᾽ ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.

ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ, οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ. σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει. σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. οὕτως καὶ γέγραπται. Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. Τοῦτο δέ φημι ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται. οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. ἰδοὺ μυστήριον ὑμῖν λέγω. Πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν ἐσχάτῃ σάλπιγγι. σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· κατεπόθη ὁ θάνατος εἰς νῖκος. ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος. τῷ δὲ θεῷ χάρις, τῷ διδόντι ἡμῖν τὸ νῖκος, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὥστε ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε, εἰδότες, ὅτι ὁ κόπος

ὑμῶν οὐκ ἔστι κενὸς ἐν κυρίῳ. Κεφ. ις. Περὶ δὲ τῆς XVI
λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας, οὕτως καὶ ὑμεῖς ποιήσατε. κατὰ μίαν σαββάτων, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ τι ἂν εὐοδῶται, ἵνα μὴ ὅταν ἔλθω, τότε λογίαι γίνωνται. Ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ. Ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται. ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω. Μακεδονίαν γὰρ διέρχομαι. πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε, οὗ ἐὰν πορεύωμαι. οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ κύριος ἐπιτρέπῃ. Ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς. θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί. Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς. τὸ γὰρ ἔργον κυρίου ἐργάζεται, ὡς καὶ ἐγώ. μή τις οὖν αὐτὸν ἐξουθενήσῃ, προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με, ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. Περὶ δὲ Ἀπολλῶ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτόν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν. καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ. ἐλεύσεται δέ, ὅταν εὐκαιρήσῃ. Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς, ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ, καὶ Φουρτουνάτου, καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα, οὗτοι ἀνεπλήρωσαν. ἀνέπαυσαν γὰρ τὸ ἐμὸν

πνεῦμα, καὶ τὸ ὑμῶν. Ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.
Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς ἀσίας. Ἀσπάζονται ὑ-
μᾶς ἐν κυρίῳ πολλὰ Ἀκύλας καὶ πρίσκιλλα, σὺν τῇ κατ'
οἶκον αὐτῶν ἐκκλησίᾳ. Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάν-
τες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ὁ ἀσπα-
σμὸς τῇ ἐμῇ χειρὶ παύλου. Εἴτις οὐ φιλεῖ
τὸν κύριον Ἰησοῦν Χριστὸν, ἤτω ἀνά-
θεμα, μαραναθά. ἡ χάρις τοῦ
κυρίου Ἰησοῦ Χριστοῦ
μεθ' ὑμῶν ἡ ἀγάπη μου μετὰ πάν-
των ὑμῶν ἐν Χριστῷ Ἰη-
σοῦ. ἀμήν.

Πρὸς κορινθίους πρώτη.

Ἐγράφη ἀπὸ φιλίππων διὰ στεφανᾶ καὶ
φουρτουνάτου, καὶ ἀχαϊκοῦ,
καὶ τιμοθέου.



## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΑΥΤΗ ἐπιστέλλεται ἀπὸ μακεδονίας. ἡ δὲ πρό-
τ φασις τῆς ἐπιστολῆς αὕτη. δεξάμενοι κορίνθιοι
τὴν προτέραν ἐπιστολὴν, κατενύγησαν ἐπὶ τῇ ἁ-
μαρτίᾳ τοῦ λαβόντος τὴν μητρυιὰν, καὶ ἐλυπήθησαν δὲ, ὡς παρι-
δόντες τὸ τοιοῦτον ἁμάρτημα. εἶτα ὑφηρπάζοντο παρά τινων,
τῶν καὶ τὰς προφάσεις τῶν σχισμάτων ποιούντων, ὥστε πα-
ραδέξασθαι τῷ γράμματι τοῦ νόμου, καὶ ἀδιάφορον ἡγεῖσθαι τὴν
παρὰ τοῦ χριστοῦ χάριν, καὶ μᾶλλον προσέχειν τοῖς ἐν προσώπῳ
καυχωμένοις. ἦσαν δὲ καὶ περὶ τῆς λογίας, τῆς εἰς τοὺς ἁγί-
ους φροντίζοντες καλῶς. πρὸς ταῦτα οὖν ἀντιγράφει ὁ ἀπόστο-
λος. καὶ πρῶτον μὲν ἀποδέχεται αὐτοὺς ἐκβαλόντας τὸν παρανομή-
σαντα. ἔπειτα ἀξιώσασιν αὐτοῖς καθικετεύει, καὶ μετανοήσαν-
τα ἐκεῖνον κελεύει δεχθῆναι. ἐν αὐτῇ δὲ διδάσκει περὶ τοῦ νόμου,
διαιρῶν τὸ γράμμα τοῦ νόμου. καὶ δείκνυσιν, ὅτι οὐ δεῖ λαμβά-
νειν τὰ γράμματα μόνον τοῦ νόμου, ἀλλ' ἐν αὐτῷ τῷ γράμματι
τὴν διάνοιαν ἐρευνᾶν. Οὐ γὰρ μόνον ῥῆμά ἐστιν ὁ νόμος, ἀλλ'
ἐν τοῖς ῥητοῖς ἐστι καὶ ὁ νοῦς τοῦ πνεύματος. ἔπειτα ὅτι τοῦ Χριστοῦ
ἐλθόντος, καινὴ κτίσις γέγονεν, καὶ οὐ δεῖ κατὰ τὸ παλαιὸν
ζῆν, ἀλλ' ὡς ἐν καινῇ κτίσει, ἐν πᾶσιν ἀνακαινοῦσθαι, καὶ ἀρχὴν εἶ-
ναι λοιπὸν τῆς [illegible]. ἀποδέχεται δὲ αὐτοὺς καὶ περὶ τῆς δια-
κονίας. καὶ προτρέπεται αὐτοὺς μᾶλλον πλεονάζειν. αἰτιώμενος δὲ
τοὺς ἐν προσώπῳ καυχωμένους, καταλέγει πάντα ἅπερ πέ-
πονθε διὰ τὸν κύριον, καὶ τὰς ὀπτασίας δὲ διηγεῖται, ἅσπερ
ἑώρακεν, εἴς τε τὸν παράδεισον, καὶ εἰς τὸν τρίτον οὐρανὸν ἁρπα-
γείς. εἶτα παραγγείλας μὴ ἁμαρτάνειν, ἀλλὰ μετανοεῖν

τοὺς ἁμαρτάνοντας. ἐν εὐχαριστίᾳ τελειοῖ τὴν ἐπιστολήν. ἔστι
δὲ καὶ ταῦτα, ὁ πᾶς λόγος ἐστὶν ἐν τῇ ἐπιστολῇ περί τε ἑαυτοῦ,
καὶ περὶ κορινθίων, καὶ τῶν ψευδαποστόλων. καὶ ἐκ ταύτης τῆς
ὑποθέσεως πρόεισιν εἴς τε τὰ τῆς χάριτος θεοῦ, καὶ περὶ ἀγα
θῆς πολιτείας, κατὰ τὸ εὐσυνείδητον, καὶ τὸ ἐναγώνιον, καὶ
τὸ ἀφιλοχρήματον, καὶ περὶ τῆς μεταδοτικῆς ἀρετῆς, καὶ
περὶ τῆς τῶν ψευδαποστόλων ἀλαζονείας καὶ πονηρίας.

# ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΔΕΥΤΕΡΑ.

## Κεφάλαιον πρῶτον.

I ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ
θελήματος θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός,
τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, τῇ οὔσῃ ἐν κορίν
θῳ, σὺν τοῖς ἁγίοις πᾶσι, τοῖς οὖσιν ἐν ὅ
λῃ τῇ ἀχαΐᾳ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χρι
στοῦ. Εὐλογητὸς ὁ θεός, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι
στοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως, ὁ
παρακαλῶν ὑμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡ
μᾶς παρακαλεῖν, τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως,
ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ θεοῦ. Ὅτι καθὼς περισσεύει τὰ
παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ Χριστοῦ περισσεύει,
καὶ ἡ παράκλησις ἡμῶν. εἴτε δὲ θλιβόμεθα ὑπὲρ τῆς ὑμῶν πα
ρακλήσεως, καὶ σωτηρίας, τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐ
τῶν παθημάτων, ὧν καὶ ἡμεῖς πάσχομεν. εἴτε παρακαλούμεθα
ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας, καὶ ἡ ἐλπὶς ἡμῶν
βεβαία ὑπὲρ ὑμῶν, εἰδότες, ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν πα



θημάτων, οὕτως καὶ τῆς παρακλήσεως. Οὐ γὰρ θέλομεν
ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν, τῆς γενο
μένης ἡμῖν ἐν τῇ ἀσίᾳ, ὅτι καθ᾽ ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ
δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν, ἀλλὰ αὐτοὶ ἐν ἑ
αυτοῖς, τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποι
θότες ὦμεν ἐφ᾽ αὐτοῖς, ἀλλ᾽ ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς
νεκρούς, ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, καὶ ῥύεται
εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσεται, συνυπουργούντων καὶ
ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων, τὸ εἰς
ἡμᾶς χάρισμα, διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. Ἡ γὰρ
καύχησις ἡμῶν αὕτη ἐστί, τὸ μαρτύριον τῆς συνειδήσεως ἡ
μῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ θεοῦ, οὐκ ἐν σοφίᾳ σαρ
κικῇ, ἀλλ᾽ ἐν χάριτι θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσο
τέρως δὲ πρὸς ἡμᾶς. Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ᾽ ἢ
ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. ἐλπίζω δέ, ὅτι καὶ ἕως
τέλους ἐπιγνώσεσθε. Καθὼς καὶ ἐπέγνωτε ὑμᾶς ἀπὸ μέρους
ὅτι καύχημα ὑμῶν ἐσμέν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡ
μέρᾳ τοῦ κυρίου Ἰησοῦ. Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην
πρὸς ὑμᾶς ἐλθεῖν πρότερον, ἵνα δευτέραν χάριν ἔχητε, καὶ
δι᾽ ὑμῶν διελθεῖν εἰς μακεδονίαν, καὶ πάλιν ἀπὸ μακεδο
νίας ἐλθεῖν πρὸς ὑμᾶς. καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆναι εἰς τὴν ἰου
δαίαν. Τοῦτο οὖν βουλευόμενος, μήτι ἄρα τῇ ἐλαφρίᾳ ἐχρη
σάμην; Ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι; ἵνα ᾖ παρ᾽ ἐ
μοὶ τὸ ναί, ναί. καὶ τὸ οὔ, οὔ. Πιστὸς δὲ ὁ θεός, ὅτι ὁ λόγος ἡ
μῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναί, καὶ οὔ. Ὁ γὰρ τοῦ θεοῦ υἱὸς
Ἰησοῦς Χριστός, ὁ ἐν ἡμῖν δι᾽ ἡμῶν κηρυχθείς, δι᾽ ἐμοῦ καὶ
σιλουανοῦ καὶ τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐ
τῷ γέγονεν. Ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ ναί, καὶ ἐν
αὐτῷ τὸ ἀμήν, τῷ θεῷ πρὸς δόξαν δι᾽ ἡμῶν. Ὁ δὲ βεβαιῶν

ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, καὶ χρίσας ἡμᾶς θεός, ὁ καὶ σφραγι-
σάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος ἐν
ταῖς καρδίαις ἡμῶν. Ἐγὼ δὲ μάρτυρα τὸν θεὸν ἐπικαλοῦ-
μαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλ-
θον εἰς Κόρινθον. οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως,
ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν, τῇ γὰρ πίστει ἑστήκατε.
II Κεφαλ. β. Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο τὸ μὴ πάλιν ἐλθεῖν ἐν
λύπῃ πρὸς ὑμᾶς. Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐ-
φραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ, καὶ ἔγραψα ὑμῖν τοῦ-
το αὐτὸ, ἵνα μὴ ἐλθὼν, λύπην ἔχω, ἀφ' ὧν ἔδει με χαίρειν.
πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν
ἐστιν. Ἐκ γὰρ πολλῆς θλίψεως, καὶ συνοχῆς καρδίας ἔγρα-
ψα ὑμῖν, διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν
ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς. Εἰ δέ τις
λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλ' ἀπὸ μέρους, ἵνα μὴ ἐπιβα-
ρῶ πάντας ὑμᾶς. Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν
πλειόνων. ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι, καὶ παρακα-
λέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Διὸ
παρακαλῶ ὑμᾶς, κυρῶσαι εἰς αὐτὸν ἀγάπην. Εἰς τοῦτο γὰρ καὶ ἔ-
γραψα, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε.
Ὧ δέ τι χαρίζεσθε, καὶ ἐγώ. καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι ᾧ κεχά-
ρισμαι, δι' ὑμᾶς ἐν προσώπῳ Χριστοῦ, ἵνα μὴ πλεονεκτηθῶμεν
ὑπὸ τοῦ σατανᾶ. Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Ἐλθὼν δὲ
εἰς τὴν Τρῳάδα, εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγ-
μένης ἐν κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑ-
ρεῖν με Τίτον τὸν ἀδελφόν μου, ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλ-
θον εἰς Μακεδονίαν. Τῷ δὲ θεῷ χάρις, τῷ πάντοτε θριαμβεύον-
τι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦν-
τι, δι' ἡμῶν ἐν παντὶ τόπῳ. Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ



θεῷ, ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις. Οἷς
μὲν ὀσμὴ θανάτου, εἰς θάνατον. οἷς δὲ ὀσμὴ ζωῆς, εἰς ζωήν.
Καὶ πρὸς ταῦτα τίς ἱκανός; Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπη-
λεύοντες τὸν λόγον τοῦ θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς
ἐκ θεοῦ, κατενώπιον τοῦ θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.
Κεφάλαιον. γ. Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν. III
εἰ μὴ χρῄζομεν ὥς τινες συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς,
ἢ ἐξ ὑμῶν συστατικῶν; Ἡ ἐπιστολὴ ἡμῶν, ὑμεῖς ἐστε, ἐγγεγραμ-
μένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσ-
κομένη ὑπὸ πάντων ἀνθρώπων, φανερούμενοι, ὅτι ἐστὲ ἐπιστο-
λὴ Χριστοῦ. διακονηθεῖσα, ὑφ' ἡμῶν ἐγγεγραμμένη. οὐ μέλα-
νι, ἀλλὰ πνεύματι θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ'
ἐν πλαξὶ καρδίας σαρκίναις. Πεποίθησιν δὲ τοιαύτην
ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν θεόν, οὐχ ὅτι ἱκανοί ἐσ-
μεν ἐφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης
ἡμῶν ἐκ τοῦ θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς
διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος. Τὸ γὰρ γράμμα
ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. εἰ δὲ ἡ διακονία τοῦ θα-
νάτου ἐν γράμμασιν ἐντετυπωμένη, ἐν λίθοις, ἐγενήθη ἐν
δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ
πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν
καταργουμένην, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται
ἐν δόξῃ; Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλ-
λον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. καὶ γὰρ
οὐδὲ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, εἵνεκεν
τῆς ὑπερβαλλούσης δόξης. Εἰ γὰρ τὸ καταργούμενον, διὰ δόξης,
πολλῷ μᾶλλον τὸ μένον, ἐν δόξῃ. Ἔχοντες οὖν τοιαύτην ἐλπίδα
πολλῇ παῤῥησίᾳ χρώμεθα, καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυ-
μμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ

εἰς τὸ τέλος τοῦ καταργουμένου. Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν.
Ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς
παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ
καταργεῖται. ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται μωσῆς,
κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. ἡνίκα δ' ἂν ἐπιστρέ-
ψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα. ὁ δὲ κύριος τὸ πνεῦ-
μά ἐστι. οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία. Ἡμεῖς δὲ
πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπ-
τριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης
IIII εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. Κεφ. δ.
Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν,
οὐκ ἐκκακοῦμεν, ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης,
μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον
τοῦ θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας, συνιστῶντες ἑαυτοὺς
πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων, ἐνώπιον τοῦ θεοῦ. Εἰ δὲ
καὶ ἔστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμέ-
νοις, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν
ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελί-
ου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ. οὐ γὰρ ἑαυ-
τοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον, ἑαυτοὺς δὲ δού-
λους ὑμῶν διὰ Ἰησοῦν. Ὅτι ὁ θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς
λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισ-
μὸν τῆς γνώσεως, τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χρι-
στοῦ. ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα
ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ, καὶ μὴ ἐξ ἡμῶν, ἐν παντὶ θλι-
βόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι. ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπο-
ρούμενοι. διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι. καταβαλ-
λόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. πάντοτε τὴν νέκρωσιν τοῦ κυρίου
Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ
σώματι



σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες, εἰς θάνατον
παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν
τῇ θνητῇ σαρκὶ ἡμῶν. ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖ-
ται, ἡ δὲ ζωὴ ἐν ὑμῖν. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως,
κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ ἐλάλησα. καὶ ἡμεῖς πι-
στεύομεν, διὸ καὶ λαλοῦμεν, εἰδότες ὅτι ὁ ἐγείρας τὸν κύριον
Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν.
Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα, διὰ τῶν
πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ.
διὸ οὐκ ἐκκακοῦμεν, ἀλλ' εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος δια-
φθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. τὸ γὰρ
παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν, εἰς
ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκο-
πούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ
βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.
Κεφ. ε. Οἴδαμεν γὰρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ V
σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχει-
ροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. καὶ γὰρ ἐν τούτῳ στενάζο-
μεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ, ἐπενδύσασθαι ἐπιπο-
θοῦντες. εἴ γε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα.
καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει, στενάζομεν βαρούμενοι, ἐπειδὴ
οὐ θέλομεν ἐκδύσασθαι. ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ
θνητὸν ὑπὸ τῆς ζωῆς. ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦ-
το, θεὸς, ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος. Θαῤ-
ῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες, ὅτι ἐνδημοῦντες ἐν τῷ σώ-
ματι, ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου. διὰ πίστεως γὰρ περιπατοῦμεν,
οὐ διὰ εἴδους. Θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκ-
δημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον. διὸ καὶ
φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐάρε-

ρεστοι αὐτῷ εἶναι. τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμ-
προσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ
σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. εἰδότες
οὖν τὸν φόβον τοῦ κυρίου ἀνθρώπους πείθομεν, θεῷ δὲ πεφανε-
ρώμεθα. ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶ-
σθαι. οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν
διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς τοὺς
ἐν προσώπῳ καυχωμένους, καὶ οὐ καρδίᾳ. εἴτε γὰρ ἐξέστημεν,
θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν. ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει
ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα
οἱ πάντες ἀπέθανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶν-
τες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι
καὶ ἐγερθέντι. Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ
σάρκα. εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν
οὐκ ἔτι γινώσκομεν. Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις.
τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα, τὰ δὲ
πάντα ἐκ τοῦ θεοῦ, τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ
Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς, ὡς
ὅτι θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογι-
ζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν
τὸν λόγον τῆς καταλλαγῆς. ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν, ὡς
τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλ-
λάγητε τῷ θεῷ. τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν, ἁμαρ-
τίαν ἐποίησεν, ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.

VI Κεφ. ϛ. Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ εἰς κε-
νὸν τὴν χάριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς. λέγει γὰρ, καιρῷ δεκτῷ
ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. ἰδοὺ
νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. μηδε-
μίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακο-



νία, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι, ἐν
ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν
πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀ-
γρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυ-
μίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ,
ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ, διὰ τῶν ὅπλων τῆς
δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας,
διὰ δυσφημίας καὶ εὐφημίας, ὡς πλάνοι, καὶ ἀληθεῖς, ὡς
ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνήσκοντες, καὶ
ἰδοὺ ζῶμεν. ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι, ὡς λυ-
πούμενοι, ἀεὶ δὲ χαίροντες. ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτί-
ζοντες, ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. Τὸ στό-
μα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς κορίνθιοι. ἡ καρδία ἡμῶν πε-
πλάτυνται, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς
σπλάγχνοις ὑμῶν. τὴν δὲ αὐτὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω
πλατύνθητε καὶ ὑμεῖς. μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. τίς
γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς
σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς με-
ρὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ
εἰδώλων; ὑμεῖς γὰρ ναὸς θεοῦ ἐστε ζῶντος, καθὼς εἶπεν ὁ θε-
ός. ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι
αὐτῶν θεός. καὶ αὐτοὶ ἔσονταί μοι λαός. διὸ ἐξέλθετε ἐκ μέσου
αὐτῶν, καὶ ἀφορίσθητε, λέγει κύριος. καὶ ἀκαθάρτου μὴ ἅπτεσθε,
κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑ-
μεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει κύριος παντο-
κράτωρ. Κεφ. ζ. Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας VII
ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρ-
κὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ. χω-
ρήσατε ἡμᾶς. οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐ-

δένα ἐπλεονεκτήσαμεν. οὐ πρὸς κατάκρισιν λέγω. προείρη-
κα γάρ, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστὲ εἰς τὸ συναποθανεῖν
καὶ συζῆν. Πολλή μοι παῤῥησία πρὸς ὑμᾶς, πολλή μοι καύ-
χησις ὑπὲρ ὑμῶν, πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισ-
σεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. καὶ γὰρ ἐλθόντων
ἡμῶν εἰς Μακεδονίαν, οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡ-
μῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι. ἔξωθεν μάχαι, ἔσωθεν φόβοι.
ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρεκάλεσεν ἡμᾶς ὁ θε-
ὸς ἐν τῇ παρουσίᾳ Τίτου. οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ,
ἀλλὰ καὶ ἐν τῇ παρακλήσει, ᾗ παρεκλήθη ἐφ' ὑμῖν, ἀναγγέλλων
ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆ-
λον ὑπὲρ ἐμοῦ, ὥστε με μᾶλλον χαρῆναι. ὅτι εἰ καὶ ἐλύπησα
ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην.
Βλέπω γάρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν
ὑμᾶς. νῦν χαίρω. οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς
μετάνοιαν. ἐλυπήθητε γὰρ κατὰ θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆ-
τε ἐξ ὑμῶν. Ἡ γὰρ κατὰ θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν
ἀμεταμέλητον κατεργάζεται, ἡ δὲ τοῦ κόσμου λύπη θάνατον
κατεργάζεται. Ἰδοὺ γὰρ αὐτὸ τοῦτο, τὸ κατὰ θεὸν λυπηθῆναι ὑ-
μᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδὴν, ἀλλὰ ἀπολογίαν,
ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆ-
λον, ἀλλ' ἐκδίκησιν. ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς
εἶναι ἐν τῷ πράγματι. Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν
τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος, ἀλλ' εἵνεκεν τοῦ
φανερωθῆναι τὴν σπουδὴν ὑμῶν τὴν ὑπὲρ ἡμῶν πρὸς ὑμᾶς
ἐνώπιον τοῦ θεοῦ. διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ παρακλήσει
ὑμῶν, περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου,
ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν, ὅτι εἴ τι
αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην, ἀλλ' ὡς πάν-



τα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν
ἡ ἐπὶ Τίτου, ἀλήθεια ἐγενήθη. καὶ τὰ σπλάγχνα αὐτοῦ περισσο-
τέρως εἰς ὑμᾶς ἐστιν, ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν
ὑπακοὴν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν.
Κεφ. η. Χαίρω ὅτι ἐν παντὶ θαῤῥῶ ἐν ὑμῖν. Γνωρίζο- VIII
μεν δὲ ὑμῖν ἀδελφοί, τὴν χάριν τοῦ θεοῦ, τὴν δεδομένην ἐν
ταῖς ἐκκλησίαις τῆς Μακεδονίας, ὅτι ἐν πολλῇ δοκιμῇ θλί-
ψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθους πτω-
χεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐ-
τῶν. ὅτι κατὰ δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ δύναμιν αὐθαί-
ρετοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν
καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, δέξασθαι
ἡμᾶς. καὶ οὐ καθὼς ἠλπίσαμεν, ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον
τῷ κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος θεοῦ, εἰς τὸ παρακαλέσαι
ἡμᾶς Τίτον, ἵνα καθὼς προενήξατο, οὕτως καὶ ἐπιτελέσῃ εἰς
ὑμᾶς καὶ τὴν χάριν ταύτην. Ἀλλ' ὥσπερ ἐν παντὶ περισ-
σεύετε πίστει, καὶ λόγῳ, καὶ γνώσει, καὶ πάσῃ σπουδῇ, καὶ τῇ ἐξ
ὑμῶν ἐν ἡμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.
οὐ κατ' ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς, καὶ τὸ
τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων, γινώσκετε γὰρ τὴν
χάριν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε
πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. καὶ
γνώμην ἐν τούτῳ δίδωμι. τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες
οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυ-
σι. νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε, ὅπως καθάπερ ἡ προ-
θυμία τοῦ θέλειν, οὕτως καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν. εἰ γὰρ ἡ προ-
θυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις εὐπρόσδεκτος, οὐ καθὸ
οὐκ ἔχει. οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλίψις, ἀλλ' ἐξ
ἰσότητος ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων

ὑστέρημα, ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης, καθὼς γέγραπται. ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε. Χάρις δὲ τῷ θεῷ, τῷ διδόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ τίτου, ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο, σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος ἐξῆλθε πρὸς ὑμᾶς. συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν, οὐ μόνον δὲ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν, συνέκδημος ἡμῶν σὺν τῇ χάριτι ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ κυρίου δόξαν, καὶ προθυμίαν ὑμῶν. στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ, τῇ διακονουμένῃ ὑφ' ἡμῶν, προνοούμενοι καλὰ, οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα. νυνὶ δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς, εἴτε ὑπὲρ τίτου, κοινωνὸς ἐμὸς, καὶ εἰς ὑμᾶς συνεργὸς, εἴτε ἀδελφοὶ ἡμῶν ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ. τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν. εἰς αὐτοὺς ἐνδείξασθε καὶ εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

IX Κεφ. θ. Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοι ἐστὶ τὸ γράφειν ὑμῖν. οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι μακεδόσιν. ὅτι ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι, καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας, ἔπεμψα δὲ τοὺς ἀδελφοὺς, ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν, κενωθῇ ἐν τῷ μέρει τούτῳ. ἵνα καθὼς ἔλεγον, παρεσκευασμένοι ἦτε, μήπως ἐὰν ἔλθωσι σὺν ἐμοὶ μακεδόνες, καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς, ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως. ἀναγκαῖον



οὖν ἡγησάμην, παρακαλέσαι τοὺς ἀδελφοὺς, ἵνα προέλθωσιν εἰς ὑμᾶς, καὶ προκαταρτίσωσι τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν, ταύτην ἑτοίμην εἶναι, οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὥσπερ πλεονεξίαν. τοῦτο δὲ, Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει. καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός. δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθὸν. καθὼς γέγραπται. ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι. καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν, ἐν παντὶ πλουτιζόμενοι, εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ. Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ θεῷ, διὰ τῆς δοκιμῆς διακονίας ταύτης, δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς, διὰ τὴν ὑπερ-
βάλλουσαν χάριν τοῦ θεοῦ ἐφ' ὑμῖν. χάρις δὲ τῷ θεῷ, ἐπὶ τῇ X
ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. Κεφ. ι. Αὐτὸς δὲ ἐγὼ παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαῤῥῶ εἰς ὑμᾶς. δέομαι δὲ τὸ μὴ παρὼν θαῤῥῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι, ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς, ὡς κατὰ σάρκα περιπατοῦντας. ἐν σαρκὶ γὰρ περιπατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα. τὰ γὰρ ὅπλα τῆς στρατείας

ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀ-
χυρωμάτων, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαι-
ρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν
νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκ-
δικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. τὰ
κατὰ πρόσωπον βλέπετε; Εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶ-
ναι, τοῦτο λογιζέσθω πάλιν ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ,
οὕτως καὶ ἡμεῖς Χριστοῦ. Ἐάν τε γὰρ καὶ περισσότερόν τι καυ-
χήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς ἔδωκεν ὁ κύριος ἡμῖν
εἰς οἰκοδομὴν, καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθή-
σομαι, ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν.
ὅτι αἱ μὲν ἐπιστολαί, φησι, βαρεῖαι καὶ ἰσχυραὶ, ἡ δὲ παρουσία
τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. τοῦτο λογι-
ζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόν-
τες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ. οὐ γὰρ τολμῶμεν ἐγκρῖ-
ναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων,
ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες, καὶ συγκρίνοντες
ἑαυτοὺς ἑαυτοῖς, οὐ συνιοῦσιν. ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα
καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος, οὗ ἐμέρισεν ἡ-
μῖν ὁ θεὸς μέτρου ἐφικέσθαι ἄχρι καὶ ὑμῶν. οὐ γὰρ ὡς μὴ ἐφι-
κνούμενοι εἰς ὑμᾶς, ὑπερεκτείνομεν ἑαυτούς. ἄχρι γὰρ καὶ
ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, οὐκ εἰς τὰ ἄμε-
τρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα ἔχοντες, αὐ-
ξανομένης τῆς πίστεως ὑμῶν ἐν ὑμῖν, μεγαλυνθῆναι κατὰ τὸν
κανόνα ἡμῶν, εἰς περισσείαν, εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγε-
λίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι.
ὁ δὲ καυχώμενος, ἐν κυρίῳ καυχάσθω. οὐ γὰρ ὁ ἑαυτὸν συνι-
στῶν ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ κύριος συνίστησιν.
XI Κεφ. ια. Ὤφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ, ἀλλὰ



καὶ ἀνέχεσθέ μου. ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ, ἡρμοσάμην γὰρ
ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. φοβοῦ-
μαι δὲ, μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ
αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν, ἀπὸ τῆς ἁπλότητος τῆς
εἰς τὸν Χριστόν. Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει,
ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβε-
τε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε.
Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀποστόλων.
Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. ἀλλ' ἐν παν-
τὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς. Ἢ ἁμαρτίαν ἐποίησα
ἐμαυτὸν ταπεινῶν, ἵνα ὑμεῖς ὑψωθῆτε; ὅτι δωρεὰν τὸ τοῦ θεοῦ
εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν; ἄλλας ἐκκλησίας ἐσύλησα,
λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν. καὶ παρὼν πρὸς
ὑμᾶς, καὶ ὑστερηθεὶς, οὐ κατενάρκησα οὐδενός. τὸ γὰρ ὑστέρη-
μά μου προσανεπλήρωσαν οἱ ἀδελφοὶ, ἐλθόντες ἀπὸ Μακεδο-
νίας. καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα, καὶ τηρήσω.
Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησις αὕτη οὐ φραγή-
σεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. διατί; ὅτι οὐκ
ἀγαπῶ ὑμᾶς; ὁ θεὸς οἶδεν. ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκό-
ψω τὴν ἀφορμὴν, τῶν θελόντων ἀφορμὴν, ἵνα ἐν ᾧ καυχῶνται
εὑρεθῶσι, καθὼς καὶ ἡμεῖς. Οἱ γὰρ τοιοῦτοι ψευδαπόστο-
λοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους
Χριστοῦ. καὶ οὐ θαυμαστόν, αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματί-
ζεται εἰς ἄγγελον φωτός. οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ με-
τασχηματίζονται, ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔ-
σται κατὰ τὰ ἔργα αὐτῶν. πάλιν λέγω, μή τις με δόξῃ ἄφρο-
να εἶναι, εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα μικρόν
τι κἀγὼ καυχήσωμαι. ὁ λαλῶ, οὐ λαλῶ κατὰ κύριον, ἀλλ'
ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. ἐπεὶ

πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι. ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες. ἀνέχεσθε γάρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει, κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν, ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. Ἑβραῖοί εἰσι, κἀγώ. Ἰσραηλῖταί εἰσι, κἀγώ. σπέρμα Ἀβραάμ εἰσι, κἀγώ. διάκονοι Χριστοῦ εἰσι, παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις. ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον. τρὶς ἐρραβδίσθην. ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα. νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις. ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; εἰ καυχᾶσθαι

XII δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Κεφ. ιβ. Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν πιάσαι με θέλων, καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ. καυχᾶσθαι δὴ οὐ συμφέρει μοι, ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις κυρίου. οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι, οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα, ὁ θεὸς οἶδεν,



ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων, ἀλήθειαν γὰρ ἐρῶ. φείδομαι δέ, μήτις εἰς ἐμὲ λογίσηται, ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. καὶ εἴρηκέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ὑπὲρ Χριστοῦ. ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. γέγονα ἄφρων καυχώμενος. ὑμεῖς με ἠναγκάσατε, ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι. οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπὲρ λίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι. τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι, καὶ δυνάμεσι. τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν; χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. ἰδοὺ τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω ὑμῶν. οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς. οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις. ἐγὼ δὲ ἥδιστα δαπανήσω, καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν, εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι. ἔστω δέ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς, ἀλλ' ὑπάρ-

χων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον. μή τινα ὧν ἀπέσταλκα
πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; παρεκάλεσα Τί-
τον, καὶ συναπέστειλα τὸν ἀδελφόν. μήτι ἐπλεονέκτησεν ὑμᾶς
Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς
ἴχνεσι; πάλιν δοκεῖτε, ὅτι ὑμῖν ἀπολογούμεθα; κατενώπιον
τοῦ θεοῦ ἐν Χριστῷ λαλοῦμεν. τὰ δὲ πάντα ἀγαπητοί, ὑπὲρ τῆς
ὑμῶν οἰκοδομῆς. Φοβοῦμαι γάρ, μήπως ἐλθών, οὐχ οἵους
θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε, μήπως
ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, καταλαλιαί, ψιθυρισμοί, φυ-
σιώσεις, ἀκαταστασίαι. μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ
θεός μου πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτη-
κότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ,
XIII καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν. Κεφ. ιγ. Τρίτον τοῦτο ἔρχο-
μαι πρὸς ὑμᾶς. ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν στα-
θήσεται πᾶν ῥῆμα. προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτε-
ρον, καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσι, καὶ τοῖς λοι-
ποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. Ἐπεὶ δο-
κιμὴν ζητεῖτε, τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ
ἀσθενεῖ. ἀλλὰ δυνατεῖ ἐν ὑμῖν. καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενεί-
ας, ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ. καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν
αὐτῷ, ἀλλὰ ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς.
ἑαυτοὺς πειράζετε, εἰ ἐστὲ ἐν τῇ πίστει. ἑαυτοὺς δοκιμάζε-
τε, ἢ οὐκ ἐπιγινώσκετε ἑαυτούς, ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν
ἐστιν; εἰ μή τι ἀδόκιμοί ἐστε. Ἐλπίζω δέ, ὅτι γνώσεσθε, ὅτι ἡ-
μεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. Εὔχομαι δὲ πρὸς τὸν θεόν, μὴ ποι-
ῆσαι ὑμᾶς κακὸν μηδέν. οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν,
ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.
Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθεί-
ας. χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν ὑμεῖς δὲ δυνατοὶ ἦτε.



Τοῦτο δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν. διὰ τοῦτο
ταῦτα ἀπὼν γράφω, ἵνα μὴ παρὼν, μὴ ἀποτόμως χρήσωμαι
κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέ μοι ὁ κύριος εἰς οἰκοδομήν, καὶ
οὐκ εἰς καθαίρεσιν. Λοιπὸν ἀδελφοὶ χαίρετε, καταρτίζεσθε
παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε, καὶ ὁ θεὸς τῆς ἀγά-
πης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν. ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ
φιλήματι. ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες. Ἡ χάρις τοῦ κυρίου
Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύ-
ματος, μετὰ πάντων ὑμῶν. ἀμήν.

Πρὸς κορινθίους δευτέρα.

Ἐγράφη ἀπὸ φιλίππων τῆς μακεδονίας διὰ τίτου καὶ λουκᾶ.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΣ ΠΑΥΛΟΥ

Αὕτην ἐπιστέλλει ἀπὸ ῥώμης, ἑωρακὼς αὐτοὺς
ἤδη καὶ διδάξας. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς
τ αὕτη. διδαχθέντες καλῶς οἱ γαλάται παρὰ τοῦ
ἀποστόλου, καὶ πιστεύσαντες γνησίως εἰς τὸν Χρι-
στὸν, ἀποδημήσαντος τοῦ ἀποστόλου, ὑφηρπάσθησαν
παρά τινων, ὥστε περιτέμνεσθαι. ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστο-
λος, γράφει πρὸς αὐτούς. καὶ πρῶτον μὲν μαρτυρεῖ αὐτοῖς
περὶ ἧς εἶχον πίστεως, καὶ γνησίας εἰς Χριστὸν διαθέσεως.
μέμφεται δὲ ὡς ἀνοήτως πράξαντας, καὶ μεταβαλλομένους
αὐτούς. ἔπειτα διαλαμβάνει περὶ τοῦ νόμου καὶ τῆς κατὰ τὸν
ἀβραὰμ πίστεως, καὶ ἀποδείκνυσιν ἔκ τε τοῦ νόμου, καὶ τῶν γυ-
ναικῶν τοῦ ἀβραάμ, ἀλληγορήσας αὐτάς, μέχρι καιροῦ δεδό-
σθαι τὴν σκιὰν, καὶ τὴν περιτομήν, καὶ ἀργεῖν αὐτὰ λοιπὸν τῇ

τοῦ Χριστοῦ παρουσίᾳ. καὶ οὕτως ἀποδείξας, παραγγέλ-
λει λοιπὸν αὐτοῖς, μηκέτι προσέχειν τοῖς ἀπατῶσιν, ἀλλὰ
μᾶλλον ἔχεσθαι τῆς ἐν Χριστῷ πίστεως, καὶ γινώσκειν ὅτι
ἐν Χριστῷ χάρις καταργεῖ τὴν κατὰ σάρκα περιτομήν. καὶ
οὕτως πάλιν εἰς τὰ ἔθνη παραινέσας καὶ διδάξας, τελειοῖ
τὴν ἐπιστολήν.

# ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

## Κεφάλαιον πρῶτον.

I ΠΑΥΛΟΣ ἀπόστολος, οὐκ ἀπ' ἀνθρώ-
πων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ
Χριστοῦ, καὶ θεοῦ πατρὸς, τοῦ ἐγείραντος
αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ σὺν ἐμοὶ πάντες
ἀδελφοὶ, ταῖς ἐκκλησίαις τῆς Γαλατί-
ας. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πα-
τρὸς, καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ
τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος
αἰῶνος πονηροῦ, κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ᾧ ἡ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Θαυμάζω, ὅτι οὕτω
ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χρι-
στοῦ, εἰς ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν,
οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον
τοῦ Χριστοῦ. Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελί-
ζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. ὡς προ-
ειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς εὐαγγελίζεται, παρ'
ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεόν;



ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον,
Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. Γνωρίζω δὲ ὑμῖν ἀδελφοὶ, τὸ εὐ-
αγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. οὐδὲ γὰρ
ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὔτε ἐδιδάχθην, ἀλ-
λὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. ἠκούσατε γὰρ τὴν ἐμὴν
ἀναστροφήν ποτὲ ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίω-
κον τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἐπόρθουν αὐτήν, καὶ προέ-
κοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ
γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν
μου παραδόσεων. ὅτε δὲ εὐδόκησεν ὁ θεὸς, ὁ ἀφορίσας
με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος
αὐτοῦ, ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ ἵνα εὐαγγελίζωμαι αὐ-
τὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως, οὐ προσανεθέμην σαρκὶ καὶ αἵ-
ματι, οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀ-
ποστόλους, ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα
εἰς Δαμασκόν. ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα
ἱστορῆσαι Πέτρον, καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε.
ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ
κυρίου. Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ θεοῦ, ὅτι οὐ ψεύδο-
μαι. ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας
ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰου-
δαίας, ταῖς ἐν Χριστῷ. μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων
ἡμᾶς ποτὲ, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει, καὶ ἐ-
δόξαζον ἐν ἐμοὶ τὸν θεόν. Κεφ. β. Ἔπειτα διὰ δεκατεσσάρων II CAPVT SECVNDV
ἐτῶν πάλιν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαρα-
λαβὼν καὶ Τίτον, ἀνέβην δὲ κατὰ ἀποκάλυψιν, καὶ ἀνε-
θέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν, κα-
τ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μήπως εἰς κενὸν τρέχω, ἢ ἔδρα-
μον. ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ, Ἕλλην ὤν, ἠναγκάσθη

περιτμηθῆναι, διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσωνται, οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς. Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον ἀνθρώπου θεὸς οὐ λαμβάνει· ἐμοὶ γὰρ οἱ δοκοῦντες, οὐδὲν προσανέθεντο, ἀλλὰ τοὐναντίον, ἰδόντες, ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς πέτρος τῆς περιτομῆς. ὁ γὰρ ἐνεργήσας πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη, καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι, ἰάκωβος καὶ κηφᾶς καὶ ἰωάννης, οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν, μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι. Ὅτε δὲ ἦλθε πέτρος εἰς ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην· ὅτι κατεγνωσμένος ἦν. πρὸ τοῦ γὰρ ἐλθεῖν τινὰς ἀπὸ ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς, καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ ἰουδαῖοι ὥστε καὶ βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. ἀλλ᾽ ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ πέτρῳ ἔμπροσθεν πάντων· Εἰ σὺ ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ ἰουδαϊκῶς τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; ἡμεῖς φύσει ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου, διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ. Εἰ δὲ ζητοῦντες δικαιωθῆναι

ἐν Χριστῷ



ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς ἁμαρτίας διάκονος; Μὴ γένοιτο. εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι. Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι. Ζῶ δέ, οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Οὐκ ἀθετῶ τὴν χάριν τοῦ θεοῦ. εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

III Κεφ. γ. Ὦ ἀνόητοι γαλάται, τίς ὑμᾶς ἐβάσκανε, τῇ ἀληθείᾳ μὴ πείθεσθαι; οἷς κατ᾽ ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη, ἐν ὑμῖν ἐσταυρωμένος; τοῦτο μόνον θέλω μαθεῖν ἀφ᾽ ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε; Τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ. Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου, ἢ ἐξ ἀκοῆς πίστεως; καθὼς ἀβραὰμ ἐπίστευσε τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ ἀβραάμ. Προϊδοῦσα δὲ ἡ γραφή, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεός, προευηγγελίσατο τῷ ἀβραάμ. ὅτι εὐλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη. ὥστε οἱ ἐκ πίστεως, εὐλογοῦνται σὺν τῷ πιστῷ ἀβραάμ. Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν. Γέγραπται γάρ, ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ, δῆλον. ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται, ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ᾽ ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Γέγραπται γάρ, ἐπικατάρατος πᾶς, ὁ κρεμάμενος ἐπὶ ξύλου, ἵνα

εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα
τὴν ἐπαγγελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως. Ἀδελ-
φοί, κατὰ ἄνθρωπον λέγω. ὅμως ἀνθρώπου κεκυρωμένην δια-
θήκην, οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται. τῷ δὲ Ἀβραὰμ ἐρρέ-
θησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. οὐ λέγει καὶ τοῖς
σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, καὶ τῷ σπέρ-
ματί σου, ὅς ἐστι Χριστός. τοῦτο δὲ λέγω, διαθήκην προκεκυ-
ρωμένην ὑπὸ τοῦ θεοῦ εἰς Χριστὸν, ὁ μετὰ ἔτη τετρακόσια καὶ τρι-
άκοντα γεγονὼς νόμος, οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐ-
παγγελίαν. εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία οὐκ ἔτι ἐξ ἐπαγγελί-
ας. τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ θεός. τί οὖν
ὁ νόμος; τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ
τὸ σπέρμα, ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ με-
σίτου. ὁ δὲ μεσίτης, ἑνὸς οὐκ ἔστιν, ὁ δὲ θεὸς εἷς ἐστιν. ὁ οὖν
νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θεοῦ; Μὴ γένοιτο. εἰ γὰρ ἐδό-
θη νόμος, ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ
δικαιοσύνη. ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρ-
τίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύ-
ουσι. Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα,
συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. ὥστε
ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστε-
ως δικαιωθῶμεν. ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παι-
δαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ θεοῦ ἐστὲ διὰ τῆς πίστεως ἐν
Χριστῷ Ἰησοῦ. ὅσοι γὰρ ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι
Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι
ἄρσεν καὶ θῆλυ. Πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ. εἰ δὲ
ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ' ἐπαγγελίαν
IIII κληρονόμοι. Κεφ. δ. Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονό-
μος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων



ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθε-
σμίας τοῦ πατρός. οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοι-
χεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα
τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυ-
ναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ,
ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν
ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον
ἀββᾶ ὁ πατήρ. ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' υἱός. εἰ δὲ υἱός,
καὶ κληρονόμος θεοῦ διὰ Χριστοῦ. Ἀλλὰ τότε μὲν οὐκ εἰδότες
θεὸν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς. νῦν δὲ γνόντες
θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε πάλιν
ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν
θέλετε; ἡμέρας παρατηρεῖσθε καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυ-
τούς. φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. γί-
νεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέομαι ὑμῶν.
οὐδέν με ἠδικήσατε. οἴδατε δέ, ὅτι δι' ἀσθένειαν τῆς σαρ-
κὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον. καὶ τὸν πειρασμόν μου, τὸν
ἐν τῇ σαρκί μου, οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ'
ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. Τίς οὖν ἦν
ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν, ὅτι εἰ δυνατόν, τοὺς
ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὥστε ἐχθρὸς
ὑμῶν γέγονα, ἀληθεύων ὑμῖν; ζηλοῦσιν ὑμᾶς οὐ καλῶς,
ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε. καλ-
λὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ πα-
ρεῖναί με πρὸς ὑμᾶς. Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις
οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς
ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου, ὅτι ἀποροῦμαι ἐν ὑμῖν. Λέ-
γετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε;
Γ Γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδί-

σκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. ἀλλ' ὁ μὲν ἐκ τῆς παιδί-
σκης, κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ
τῆς ἐπαγγελίας. ἅτινά ἐστιν ἀλληγορούμενα. αὗται γάρ εἰσι
δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους σινᾶ, εἰς δουλείαν γεννῶ-
σα, ἥτις ἐστὶν ἄγαρ. τὸ γὰρ ἄγαρ, σινᾶ ὄρος ἐστὶν ἐν τῇ ἀραβίᾳ,
συστοιχεῖ δὲ τῇ νῦν ἱερουσαλὴμ, δουλεύει δὲ μετὰ τῶν τέκνων
αὐτῆς. ἡ δὲ ἄνω ἱερουσαλὴμ, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ
πάντων ἡμῶν. Γέγραπται γάρ, εὐφράνθητι στεῖρα ἡ οὐ τίκτου-
σα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς
ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Ἡμεῖς δὲ ἀδελφοὶ
κατὰ ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. ἀλλ' ὥσπερ τότε ὁ κα-
τὰ σάρκα γεννηθεὶς, ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτως καὶ νῦν.
ἀλλὰ τί λέγει ἡ γραφή; ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐ-
τῆς, οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ
υἱοῦ τῆς ἐλευθέρας. ἄρα ἀδελφοὶ οὐκ ἐσμὲν παιδίσκης τέ-
Caput 5 M.A. κνα, ἀλλὰ τῆς ἐλευθέρας. Κεφ. ε. Τῇ ἐλευθερίᾳ οὖν ᾗ χρι-
C στὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐ-
νέχεσθε. Ἴδε ἐγὼ παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε,
χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. μαρτύρομαι δὲ πάλιν παντὶ
ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν, ὅλον τὸν νόμον ποιῆ-
σαι. κατηργήθητε ἀπὸ τοῦ χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε,
τῆς χάριτος ἐξεπέσετε. ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα
δικαιοσύνης ἀπεκδεχόμεθα. ἐν γὰρ χριστῷ ἰησοῦ, οὔτε περιτο-
μή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργου-
μένη. ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἀνέκοψε, τῇ ἀληθείᾳ μὴ πείθε-
σθαι; ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. μικρὰ ζύμη ὅλον τὸ
φύραμα ζυμοῖ. ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ, ὅτι οὐδὲν ἄλ-
λο φρονήσετε. ὁ δὲ ταράσσων ὑμᾶς, βαστάσει τὸ κρίμα, ὅστις
ἂν ᾖ. Ἐγὼ δὲ ἀδελφοὶ, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκο-



μαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. ὄφελον καὶ ἀποκό-
ψονται οἱ ἀναστατοῦντες ὑμᾶς. ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθη-
τε ἀδελφοί, μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί,
ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. ὁ γὰρ πᾶς νόμος
ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς
ἑαυτόν. εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ
ὑπὸ ἀλλήλων ἀναλωθῆτε. λέγω δὲ πνεύματι περιπατεῖτε, καὶ
ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κα-
τὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. ταῦτα δὲ
ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. εἰ δὲ
πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. φανερὰ δέ ἐστι τὰ ἔργα
τῆς σαρκός, ἅτινά ἐστι, μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλ-
γεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ,
ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶ-
μοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖ-
πον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν θεοῦ οὐ κληρο-
νομήσουσιν. Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν, ἀγάπη, χαρὰ,
εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης,
ἐγκράτεια. κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ χρι-
στοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυ-
μίαις. ~~[illegible]~~ Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶ- MH
μεν. μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλή-
λους φθονοῦντες. Ἀδελφοὶ, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι
παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ, καταρτίζετε τὸν τοιοῦτον
ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς.
ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νό-
μον τοῦ χριστοῦ. Εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὢν, ἑαυτὸν φρε-
ναπατᾷ. τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς
ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. ἕκαστος

γὰρ τὸ ἴδιον φορτίον βαστάσει. Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον, τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς, μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. ὅτι ὁ σπείρων εἰς τὴν σάρκα αὐτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν. ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν. Καιρῷ γὰρ ἰδίῳ θερίσωμεν, μὴ ἐκλυόμενοι. ἄρα οὖν ὡς καιρὸν ἔχωμεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. ἐν γὰρ Χριστῷ Ἰησοῦ, οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ. τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω. Ἐγὼ γὰρ τὰ στίγματα τοῦ κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν ἀδελφοί.

Ἀμήν.

Πρὸς Γαλάτας ἐγράφη ἀπὸ Ῥώμης.



## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

ΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ῥώμης, οὔπω μὲν αὐτοὺς ἑωρακώς, ἀκούσας δὲ περὶ αὐτῶν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. Ἐφέσιοι πιστεύσαντες εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, γνησίαν ἔσχον εἰς αὐτὸν τὴν πίστιν, καὶ εἰς πάντας τοὺς ἁγίους τὴν ἀγάπην, καὶ ἐβούλοντο παρὰ τοῦ Παύλου διδαχθῆναι. μαθὼν τοίνυν ὁ ἀπόστολος, γράφει πρὸς αὐτοὺς ταύτην τὴν ἐπιστολήν. ὥσπερ κατηχητικήν. καὶ πρῶτον μὲν δείκνυσι, μὴ νεώτερον εἶναι τὸ καθ᾽ ἡμᾶς μυστήριον, ἀλλ᾽ ἐξ ἀρχῆς καὶ πρὸ καταβολῆς κόσμου εἶναι ταύτην εὐδοκίαν τοῦ θεοῦ, ὥστε τὸν Χριστὸν ὑπὲρ ἡμῶν παθεῖν, καὶ ἡμᾶς σωθῆναι, ἔπειτα περὶ κλήσεως ἐθνῶν διαλέγεται, ἵνα δείξῃ ἀξίως αὐτοὺς πεπιστευκέναι. Καὶ ἀποδείκνυσιν, ὅτι ἡ κλῆσις αὐτῶν γέγονεν, οὐ δι᾽ ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν υἱὸς τοῦ θεοῦ, ἵνα καὶ ἐκ τούτου μάθωσιν, ὅτι οὐκ ἀνθρωπολάτραι γεγόνασι, πιστεύσαντες τῷ Χριστῷ, ἀλλ᾽ ἀληθινοὶ θεοσεβεῖς. σημαίνει δὲ καὶ αὑτὸν διὰ τοῦτο ἀπεστάλθαι κηρύσσειν τὸ εὐαγγέλιον, καὶ ὅτι περὶ αὐτῶν ἐφρόντισεν. ἔπειτα παραινετικοὺς λόγους ἀνδράσι καὶ γυναιξί, πατράσι καὶ τέκνοις, κυρίοις καὶ δούλοις, τίθησιν ἐν τῇ ἐπιστολῇ. καὶ καθόλου πάντας παρασκευάζει κατὰ τοῦ διαβόλου, καὶ τῶν δαιμόνων αὐτοῦ, λέγων πρὸς ἐκείνους, ἡμῖν εἶναι τὴν πάλην. καὶ ὥσπερ ἀγαθὸς ἀλείπτης ἀλείψας τοῖς λόγοις πάντας κατὰ τῆς διαβολικῆς ἐνεργείας, οὕτως τελειοῖ τὴν ἐπιστολήν.

# ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ

# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

## Κεφάλαιον πρῶτον.

I ΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ
θελήματος θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν
π ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ. χά-
ρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν,
καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Εὐλογητὸς ὁ θε-
ὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς
ἐπουρανίοις Χριστῷ. καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ κα-
ταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώ-
πιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰη-
σοῦ Χριστοῦ εἰς αὐτὸν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.
εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν
τῷ ἠγαπημένῳ. ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος
αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χά-
ριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς, ἐν πάσῃ σοφίᾳ καὶ φρο-
νήσει, γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, κατὰ τὴν
εὐδοκίαν αὐτοῦ, προέθετο ἐν αὐτῷ εἰς οἰκονομίαν τοῦ πληρώμα-
τος τῶν καιρῶν. ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χρι-
στῷ, τάτε ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς ἐν αὐτῷ, ἐν ᾧ
καὶ ἐκληρώθημεν, προορισθέντες κατὰ πρόθεσιν, τοῦ τὰ πάν-
τα ἐνεργοῦντος, κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ, εἰς τὸ
εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν
τῷ Χριστῷ, ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθεί-
ας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες
ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅς ἐστιν



ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περι-
ποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ. διὰ τοῦτο κἀγὼ ἀκού-
σας τὴν καθ᾽ ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ Ἰησοῦ, καὶ τὴν ἀγάπην
τὴν εἰς πάντας τοὺς ἁγίους, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑ-
μῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἵνα ὁ θεὸς
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης δώῃ ὑμῖν
πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτι-
σμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν, εἰς τὸ εἰδέναι
ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος
τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερ-
βάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς, τοὺς πιστεύοντας
κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν
τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ,
ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας καὶ δυ-
νάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ
μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. καὶ πάντα ὑ-
πέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑ-
πὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρω-
μα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου. Κεφ. β. Καὶ ὑμᾶς II
ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις, ἐν
αἷς ποτὲ περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κα-
τὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος, τοῦ νῦν ἐνερ-
γοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐν οἷς καὶ ἡμεῖς πάντες
ἀνεστράφημέν ποτε, ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν,
ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς, καὶ τῶν διανοιῶν, καὶ
ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί. Ὁ δὲ θεὸς πλού-
σιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν
ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωο-
ποίησε τῷ Χριστῷ, χάριτί ἐστε σεσωσμένοι, καὶ συνήγειρε, καὶ

συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Διὸ μνημονεύετε, ὅτι ὑμεῖς ποτὲ τὰ ἔθνη ἐν σαρκὶ, οἱ λεγόμενοι ἀκροβυστία, ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ, χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ. νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς, οἵ ποτε ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ, καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν, τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς. ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη, αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι. Κεφ. γ.

III



Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν· εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ θεοῦ, τῆς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ, ὃ ἐν ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν πνεύματι. εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν τῷ Χριστῷ, διὰ τοῦ εὐαγγελίου, οὗ ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ θεοῦ, τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν δυνάμεως αὐτοῦ. Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ· καὶ φωτίσαι πάντας, τίς ἡ κοινωνία τοῦ μυστηρίου, τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ θεῷ· τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει, τῇ διὰ τῆς πίστεως αὐτοῦ. διὸ αἰτοῦμαι, μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν. τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δώῃ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ βά

βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγά-
πην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ. τῷ
δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ, ὧν αἰτού-
μεθα ἢ νοοῦμεν κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν,
αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ εἰς πάσας τὰς
IIII γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. ἀμήν. Κεφ. δ. Παρακαλῶ οὖν
ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλή-
σεως, ἧς ἐκλήθητε. μετὰ πάσης ταπεινοφροσύνης καὶ πρᾳό-
τητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ,
σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέ-
σμῳ τῆς εἰρήνης. ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε
ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν. εἷς κύριος, μία πίστις, ἓν
βάπτισμα. εἷς θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ
πάντων, καὶ ἐν πᾶσιν ὑμῖν. Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις
κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. διὸ λέγει. ἀναβὰς εἰς
ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς
ἀνθρώποις. τὸ δὲ ἀνέβη, τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον
εἰς τὰ κατώτερα μέρη τῆς γῆς; ὁ καταβὰς αὐτός ἐστι, καὶ ὁ
ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάν-
τα. καὶ αὐτὸς ἔδωκε, τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφή-
τας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκά-
λους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας,
εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ
πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ
τοῦ θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος
τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ
περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυ-
βείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς
πλάνης. ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ



πάντα, ὅς ἐστιν ἡ κεφαλή, ὁ Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συν-
αρμολογούμενον, καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς
ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους,
τὴν αὔξησιν τοῦ σώματος ποιεῖται, εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν
ἀγάπῃ. Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ. μηκέτι ὑμᾶς
περιπατεῖν, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι
τοῦ νοὸς αὐτῶν. ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτρι-
ωμένοι τῆς ζωῆς τοῦ θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐ-
τοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, οἵτινες ἀπηλγη-
κότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκα-
θαρσίας πάσης ἐν πλεονεξίᾳ. ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν
Χριστόν, εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐ-
στιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀν-
αστροφὴν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας
τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύ-
σασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ,
καὶ ὁσιότητι τῆς ἀληθείας. διὸ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖ-
τε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων
μέλη. ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε, ὁ ἥλιος μὴ ἐπιδυέτω
ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μήτε δίδοτε τόπον τῷ διαβόλῳ.
ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμε-
νος τὸ ἀγαθὸν ταῖς χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρεί-
αν ἔχοντι. Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπο-
ρευέσθω, ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα
δῷ χάριν τοῖς ἀκούουσιν. καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θε-
οῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα πικρία
καὶ θυμός, καὶ ὀργή, καὶ κραυγή καὶ βλασφημία ἀρθήτω ἀφ' ὑ-
μῶν σὺν πάσῃ κακίᾳ. γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγ-
χνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

V Κεφ. ε. Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας. πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· καὶ αἰσχρότης, καὶ μωρολογία ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία. τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ θεοῦ, μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ. Ὡς τέκνα φωτὸς περιπατεῖτε, ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ, δοκιμάζοντες, τί ἐστιν εὐάρεστον τῷ κυρίῳ. καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. τὰ γὰρ κρυφῆ γινόμενα ὑπ᾽ αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται, πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι. διὸ λέγει, ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλὰ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ κυρίου. καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ, εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ θεῷ καὶ πατρί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ θεοῦ. Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσ-



σεσθε, ὡς τῷ κυρίῳ, ὅτι ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. ἀλλ᾽ ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτως καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον, τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία, καὶ ἄμωμος. οὕτως, ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ. οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ κύριος τὴν ἐκκλησίαν. ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστόν, καὶ εἰς τὴν ἐκκλησίαν. πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω, ὡς ἑαυτόν. ἡ δὲ γυνή, ἵνα φοβῆται τὸν ἄνδρα.

Κεφ. ς. Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ· VI
τοῦτο γάρ ἐστι δίκαιον. τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. Οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ᾽ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ, μὴ κατ᾽ ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ᾽ ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ

ψυχῆς, μετ' εὐνοίας, δουλεύοντες τῷ κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες, ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ κυρίου εἴτε δοῦλος, εἴτε ἐλεύθερος. καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριος ἐστὶν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ' αὐτῷ. τὸ λοιπὸν ἀδελφοί μου, ἐνδυναμοῦσθε ἐν κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι. στῆτε οὖν, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ, διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ, ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει, καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ, γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ. ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ὑμῶν καὶ παρακα-



λέσῃ τὰς καρδίας ὑμῶν. Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως, ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ. ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης πρὸς Ἐφεσίους διὰ τυχικοῦ.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

ΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ ῥώμης, ἑωρακὼς αὐτοὺς ἅμα καὶ διδάξας, ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. πεμψάντων φιλιππησίων διακονίαν τῷ παύλῳ, καί τινων περιερχομένων, καὶ διαφθειρόντων τὰς ἀκοὰς τῶν ἀκεραίων προφάσει τῆς σκιᾶς τοῦ νόμου καὶ τῆς περιτομῆς, καὶ λεγόντων χωρὶς ταύτης μὴ δύνασθαι δικαιωθῆναι. μαθὼν ὁ ἀπόστολος γράφει φιλιππησίοις, καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῶν τὴν πίστιν, καὶ σημαίνει μνημονεύειν αὐτοῦ. ἔπειτα διηγεῖται ὡς ἀπελογήσατο ἐν ῥώμῃ, καὶ ὅτι τινὲς αὐτῷ ἐχθροὶ γεγόνασιν, ἐν τοῖς δεσμοῖς φθόνον αὐτῷ κινοῦντες. ἔπειτα αὐτοὺς προτρέπεται ἀλλήλους ἀγαπᾶν, ἐξηγούμενος τὴν τοῦ σωτῆρος φιλανθρωπίαν, ὅτι θεὸς ὢν, ἄνθρωπος γέγονε δι' ἡμᾶς. εἶτα περὶ τῆς περιτομῆς, καὶ τοῦ παλαιοῦ νόμου διαλαβὼν, ἀποδείκνυσι λοιπὸν ἀργὴν γεγονέναι τὴν περιτομὴν, λαμβάνων ἐφ' ἑαυτοῦ τὸ παράδειγμα, καὶ λέγων, ὅτι ταῦτα πάντα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν, διὸ καὶ τοὺς μὲν διδάσκοντας ἐπιτιμῶν, καὶ θέλοντας αὐτοὺς ἀπατῆσαι μεμψάμενος, καὶ εἰπὼν ἐχθροὺς αὐτοὺς εἶναι τοῦ Χριστοῦ, ἀποδέχεται φιλιππησίους διὰ τὴν πρὸς αὐτὸν τῆς κοινωνίας δόσιν. καὶ προτρεψάμενος πάλιν εἰς τὰ ἤθη αὐτοὺς, τελειοῖ τὴν ἐπιστολήν.

# ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

I Κεφάλαιον πρῶτον.

Παῦλος καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ,
π τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ διακόνοις· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν, πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν, μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος, ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν· πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ, καθώς ἐστι δίκαιον ἐμοὶ, τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ, καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας. Μάρτυς γάρ μου ἐστὶν ὁ θεὸς, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ, καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς, καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, πεπληρωμένοι καρπῶν δικαιοσύνης, τῶν διὰ Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον θεοῦ. Γινώσκειν δὲ ὑμᾶς βούλομαι ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ, μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου,



περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν. Οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου, οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. Τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. Οἶδα γὰρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν, διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου. Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος. Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι οὐ γνωρίζω. Συνέχομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς· καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως, ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς. Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν, ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ, συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου, καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ θεοῦ, ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον ἴδετε ἐν ἐμοὶ, καὶ νῦν ἀκούετε
ἐν ἐμοί. Κεφ. β. Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι II

παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τις σπλάγ-
χνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρο-
νῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες,
μηδὲν κατὰ ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ
ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν, μὴ τὰ ἑαυτῶν ἕ-
καστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος. Τοῦτο γὰρ φρονεί-
σθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων,
οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένω-
σε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμε-
νος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν,
γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ
καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ
ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐ-
πουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα
ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ
πατρός. Ὥστε ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε, μὴ
ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ
ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν
κατεργάζεσθε. ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν, καὶ τὸ θέλειν,
καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας, πάντα ποιεῖτε χωρὶς γογ-
γυσμῶν, καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραι-
οι, τέκνα θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διε-
στραμμένης, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον
ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι
οὐκ εἰς κενὸν ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα. ἀλλ' εἰ καὶ
σπένδομαι ἐπὶ τῇ θυσίᾳ, καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν,
χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρε-
τε, καὶ συγχαίρετέ μοι. Ἐλπίζω δὲ ἐν κυρίῳ Ἰησοῦ, Τιμόθεον
ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν.



Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν με-
ριμνήσει, οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰη-
σοῦ. Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν
ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. Τοῦτον μὲν οὖν ἐλπίζω πέμ-
ψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμὲ ἐξαυτῆς. Πέποιθα δὲ ἐν κυ-
ρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι. ἀναγκαῖον δὲ ἡγη-
σάμην, Ἐπαφρόδιτον τὸν ἀδελφὸν, καὶ συνεργὸν, καὶ συστρα-
τιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας
μου, πέμψαι πρὸς ὑμᾶς. Ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς,
καὶ ἀδημονῶν, διότι ἠκούσατε, ὅτι ἠσθένησε. καὶ γὰρ ἠσθένησε
παραπλήσιον θανάτῳ, ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν
δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. σπου-
δαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν, πάλιν χα-
ρῆτε, κἀγὼ ἀλυπότερος ὦ. Προσδέχεσθε οὖν αὐτὸν ἐν κυρίῳ,
μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε, ὅτι
διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγιζεν, παραβουλευσά-
μενος τῇ ψυχῇ, ἵνα πληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με
λειτουργίας. Κεφ. γ. Τὸ λοιπὸν ἀδελφοί μου, χαίρε- III
τε ἐν κυρίῳ. τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν
δὲ τὸ ἀσφαλές. βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐρ-
γάτας, βλέπετε τὴν κατατομήν. Ἡμεῖς γάρ ἐσμεν ἡ περιτο-
μὴ, οἱ πνεύματι θεῷ λατρεύοντες, καὶ καυχώμενοι ἐν Χριστῷ
Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες, καίπερ ἐγὼ ἔχων πεποί-
θησιν καὶ ἐν σαρκί. εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ,
ἐγὼ μᾶλλον, περιτομῇ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυ-
λῆς Βενιαμὶν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κα-
τὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νό-
μῳ, γενόμενος ἄμεμπτος. ἀλλ' ἅτινά μοι ἦν κέρδη, ταῦτα
ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα

ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου
μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι ἵνα
Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύ-
νην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ θεοῦ δι-
καιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀ-
ναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορ-
φούμενος τῷ θανάτῳ αὐτοῦ, εἴπως καταντήσω εἰς τὴν ἐξανά-
στασιν τῶν νεκρῶν, οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι, διώ-
κω δὲ, εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ
Ἰησοῦ. Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέ-
ναι. ἓν δὲ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπρο-
σθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω, ἐπὶ τὸ βραβεῖ-
ον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι οὖν τέλειοι
τοῦτο φρονῶμεν, καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν
ἀποκαλύψει, πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι,
τὸ αὐτὸ φρονεῖν. Συμμιμηταί μου γίνεσθε ἀδελφοὶ, καὶ σκοπεῖ-
τε τοὺς οὕτως περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς. πολ-
λοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ
κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος
ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν,
οἱ τὰ ἐπίγεια φρονοῦντες. Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς
ὑπάρχει. ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα, κύριον Ἰησοῦν
Χριστὸν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν
εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κα-
τὰ τὴν ἐνέργειαν, τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάν-
IIII τα. Κεφαλ. δ. Ὥστε ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐ-
πιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτως στήκετε ἐν κυρίῳ ἀ-
γαπητοί. Εὐοδίαν παρακαλῶ, καὶ συντύχην παρακαλῶ, τὸ
αὐτὸ φρονεῖν ἐν κυρίῳ. ναὶ ἐρωτῶ καί σε σύζυγε γνήσιε, συλ-



λαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι,
μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνό-
ματα ἐν βίβλῳ ζωῆς. Χαίρετε ἐν κυρίῳ πάντοτε, καὶ πάλιν ἐ-
ρῶ χαίρετε, τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ
κύριος ἐγγύς. μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ
καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέ-
σθω πρὸς τὸν θεόν. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα
νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν
Χριστῷ Ἰησοῦ. Τὸ λοιπὸν ἀδελφοί. ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ,
ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις
ἀρετὴ, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ καὶ ἐμάθετε, καὶ
παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί. ταῦτα πράσσε-
τε. καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. Ἐχάρην δὲ ἐν κυρίῳ
μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ'
ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δὲ, οὐχ ὅτι καθ' ὑστέρησιν λέγω.
ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμὶ, αὐτάρκης εἶναι. οἶδα καὶ ταπει-
νοῦσθαι, οἶδα καὶ περισσεύειν, ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, καὶ
χορτάζεσθαι, καὶ πεινᾶν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. πάντα
ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. πλὴν καλῶς ἐποιήσα-
τε, συγκοινωνήσαντές μου τῇ θλίψει. οἴδατε δὲ καὶ ὑμεῖς Φι-
λιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακε-
δονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσε-
ως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. ὅτι καὶ ἐν Θεσσαλονίκῃ, ἅπαξ
καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε, οὐχ ὅτι ἐπιζητῶ τὸ δό-
μα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑ-
μῶν. ἀπέχω δὲ πάντα καὶ περισσεύω. πεπλήρωμαι, δεξά-
μενος παρὰ Ἐπαφροδίτου, τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας,
θυσίαν δεκτὴν εὐάρεστον τῷ θεῷ. ὁ δὲ θεός μου πληρώσει πᾶ-
σαν χρείαν ὑμῶν, κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ, ἐν Χριστῷ

Ἰησοῦ. τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ, ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς καίσαρος οἰκίας. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης δι' ἐπαφροδίτου.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΣ.

τ

ΑΥτη ἐπιστέλλεται ἀπὸ ῥώμης, οὐχ ἑωρακὼς μὲν αὐτούς, ἀκούσας δὲ περὶ αὐτῶν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. τοὺς κολοσσαεῖς ἠβούλοντό τινες ἀπατῆσαι εὑρίσμασιν ἑλληνικοῖς, κατὰ τῆς εἰς Ἰησοῦν πίστεως, καὶ περὶ τῶν ἐν νόμῳ βρωμάτων, καὶ περιτομῆς. ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστολος, γράφει τὴν ἐπιστολὴν ὥσπερ κατηχητικὴν αὐτοῖς τῆς ἀληθείας, καὶ ὅτι ὁ χριστὸς εἰς ὃν ἐπίστευσαν, εἰκών ἐστι τοῦ θεοῦ καὶ λόγος, δι' οὗ τὰ πάντα γέγονε, καὶ ὅτι ἔπρεπεν αὐτὸν δημιουργὸν ὄντα, γενέσθαι αὐτὸν πρωτότοκον τῆς κτίσεως καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν, ἵνα τὰ ἀμφότερα συνάψῃ, καὶ ζωοποιήσῃ τὰ πάντα. προτρέπει δὲ αὐτοὺς ἐμμένειν ἐν τῇ πίστει, σημαίνων, ὅτι αὐτὸς παῦλος διάκονός ἐστι τοῦ εὐαγγελίου, ἐν ᾧ κατηχήθησαν. εἶτα καὶ περὶ τοῦ νόμου, καὶ τῶν ἐν αὐτῷ βρωμάτων, καὶ περὶ ἡμερῶν, καὶ ἐνιαυτῶν ἐξηγεῖται. καὶ ἀποδείκνυσι ἠργηκέναι λοιπὸν τὰ παλαιά, καὶ τὴν περιτομήν, συμβουλεύεται αὐτοῖς μὴ πλανᾶσθαι ἀπὸ τῶν σοφιζομένων, καὶ πλανᾶν αὐτοὺς θελόντων. καὶ λοιπὸν παραινέσας, καὶ ὧδε γονεῦσι καὶ τέκνοις, ἀνδράσι καὶ γυναιξί, δούλοις καὶ κυρίοις, καὶ τὰ ἄλλα τὰ πρὸς τὰ ἤθη συμβουλεύσας, τελειοῖ τὴν ἐπιστολήν.



# ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ.

Κεφάλαιον πρῶτον.

π

ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος θεοῦ, καὶ τιμόθεος ὁ ἀδελφὸς, τοῖς ἐν κολοσσαῖς ἁγίοις, καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστοῦμεν τῷ θεῷ καὶ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε περὶ ὑμῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἔστι καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε, καὶ ἔγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ. Καθὼς καὶ ἐμάθετε παρὰ ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ, ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. Διὰ τοῦτο καὶ ἡμεῖς ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι, ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ, περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ κυρίου, εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι, εἰς τὴν ἐπίγνωσιν τοῦ θεοῦ, ἐν πάσῃ δυνάμει δυναμούμενοι, κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν

μετὰ χαρᾶς εὐχαριστοῦντες τῷ πατρὶ, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως. ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐπὶ τοῖς οὐρανοῖς. καὶ ὑμᾶς ποτὲ ὄντας ἀπηλλοτριωμένους, καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους, καὶ ἀμώμους, καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ. εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει, τῇ ὑπὸ τὸν οὐρανὸν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ, τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τοῦ θεοῦ, τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν



αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν. νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ θεὸς γνωρίσαι, τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ, εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ, τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

Κεφ. β. Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκὶ, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ θεοῦ, καὶ πατρὸς καὶ τοῦ Χριστοῦ, ἐν ᾧ εἰσὶ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ. εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν κύριον, ἐν αὐτῷ περιπατεῖτε, ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. Βλέπετε, μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ θεοῦ,

τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν. Καὶ ὑμᾶς νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησεν σὺν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, τοῖς δόγμασιν ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. Μὴ οὖν τίς ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νεομηνίας, ἢ σαββάτων, ἅ ἐστιν σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χριστοῦ. μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν κεφαλὴν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον, καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ θεοῦ. Εἰ οὖν ἀπεθάνετε σὺν τῷ Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα, καὶ διδασκαλίας τῶν ἀνθρώπων, ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ, καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι, πρὸς πλησμονὴν τῆς σαρκός.

III Κεφ. γ. Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος. τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ



ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν, μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, ὅπου οὐκ ἔνι ἕλλην καὶ ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι χριστός, ἐνδύσασθε οὖν ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν, ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν, καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτως καὶ ὑμεῖς. ἐπὶ πᾶσι δὲ τούτοις, τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος, καὶ ἡ εἰρήνη τοῦ θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε. ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ, διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι, ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ. καὶ πᾶν ὅ τι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ καὶ πατρὶ δι' αὐτοῦ. αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν κυρίῳ. οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα. τοῦτο γὰρ ἐστιν εὐάρεστον τῷ κυρίῳ. οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν θεόν. καὶ πᾶν ὅ, τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ κυρίῳ, καὶ οὐκ

ἀνθρώποις, εἰδότες, ὅτι ἀπὸ κυρίου ἀπολήψεσθε τὴν ἀνταπό-
δοσιν τῆς κληρονομίας. τῷ γὰρ κυρίῳ Χριστῷ δουλεύετε.
ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία.
IIII Κεφ. δ. Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δού-
λοις παρέχεσθε, εἰδότες, ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρα-
νοῖς. Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν
εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ θεὸς ἀν-
οίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ
καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. ἐν σοφίᾳ
περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. ὁ λόγος
ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ
ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑ-
μῖν τυχικὸς ὁ ἀγαπητὸς ἀδελφός, καὶ πιστὸς διάκονος καὶ σύν-
δουλος ἐν κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα
γνῷ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. σὺν
ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ ὅς ἐστιν ἐξ ὑμῶν, πάν-
τα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς ἀρίσταρχος ὁ συν-
αιχμάλωτός μου, καὶ μάρκος ὁ ἀνεψιὸς βαρνάβα, περὶ οὗ
ἐλάβετε ἐντολάς. ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν, καὶ Ἰη-
σοῦς ὁ λεγόμενος ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μόνοι
συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ, οἵτινες ἐγενήθησάν μοι
παρηγορία. Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν δοῦλος
Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευ-
χαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι
τοῦ θεοῦ. μαρτυρῶ γὰρ αὐτῷ, ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν,
καὶ τῶν ἐν λαοδικείᾳ, καὶ τῶν ἐν ἱεραπόλει. ἀσπάζεται ὑμᾶς
λουκᾶς ὁ ἰατρὸς, ὁ ἀγαπητός, καὶ δημᾶς. ἀσπάσασθε τοὺς ἐν
λαοδικείᾳ ἀδελφοὺς καὶ νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκ-
κλησίαν, καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῶν ἡ ἐπιστολή, ποιήσατε,



ἵνα καὶ ἐν τῇ λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ λα-
οδικείας, ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. καὶ εἴπατε ἀρχίππῳ, βλέ-
πε τὴν διακονίαν ἣν παρέλαβες ἐν κυρίῳ, ἵνα αὐτὴν πληροῖς.
ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ παύλου. μνημονεύετέ μου τῶν δεσ-
μῶν. Ἡ χάρις μεθ' ὑμῶν. ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης διὰ τυχικοῦ
καὶ ὀνησίμου.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ ἀθηνῶν, ἑωρακὼς πρότερον αὐτούς, καὶ διατρίψας παρ' αὐτοῖς, ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ὁ ἀπόστολος πολλὰς θλίψεις παθὼν ἐν Βεροίᾳ, καὶ ἐν φιλίπποις τῆς μακεδονίας καὶ ἐν κορίνθῳ, γινώσκων τε ὅσα πέπονθεν καὶ ἐν θεσσαλονίκῃ φοβούμενος μὴ ἀκούσαντες θεσσαλονικεῖς ἃ πέπονθεν ἐν ταῖς προειρημέναις πόλεσι, παραθῶσιν ὑπὸ τοῦ πειράζοντος, καὶ σκανδαλισθῶσι. μαθὼν δὲ ὅτι καὶ ἐπὶ τοῖς ἀποθνήσκουσι κατώδυνοι ἐγένοντο, ἀποστέλλει τιμόθεον πρὸς αὐτοὺς μετὰ τῆς ἐπιστολῆς ταύτης. καὶ πρῶτον μὲν ἐπιστηρίζει αὐτοὺς ἐν τῇ πίστει, ὥστε μὴ σαλεύεσθαι διὰ τὰς θλίψεις, καὶ μὴ δεῖν ξένον αὐτοὺς πεπονθέναι ὑπὸ τῶν ἰουδαίων, τῶν καὶ τὸν κύριον ἀποκτεινάντων. χριστιανῶν γὰρ ἴδιον τὸ θλίβεσθαι ἐν τῷ βίῳ τούτῳ ἔλεγεν.

πολλὰ διεπαρρησιάσατο αὐτοῖς οὕτως, ὡς παρέλαβον παρ' αὐτοῦ ἀναστρέφεσθαι, γράφει περὶ τῶν τελευτησάντων παραμυθούμενος αὐτούς, καὶ διδάσκων μὴ βαρέως φέρειν, οὐ γὰρ εἶναι τὸν θάνατον ἀπώλειαν, ἀλλ' ὕπνον ἀναστάσεως. ἔπειτα καὶ περὶ τῶν χρόνων αὐτοὺς διδάσκει, ἵνα ἄδηλον τὴν ἡμέραν γινώσκοντες, ἀεὶ ἕτοιμοι γίνωνται, καὶ μηδενὶ προσέχωσιν ἀπαγγελλομένῳ περὶ αὐτῆς. ἐνταῦθα γάρ φησι τὴν παρουσίαν αὐτοῦ, ὥστε τοὺς περιλειπομένους καὶ [illegible] ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μὴ φθάνειν τοὺς νεκροὺς ἐγειρομένους. ἅμα γὰρ γίνεσθαι τὴν πάντων ἀλλαγήν, διδάσκει. πρὸς τούτοις προτρέπων αὐτοὺς βελτιοῦσθαι ἐν τοῖς ἤθεσι, προτρέπει αὐτοὺς καὶ ἀεὶ χαίρειν τῇ ἐλπίδι, καὶ προσεύχεσθαι. καὶ εὐχαριστεῖν αὐτοὺς ἀεὶ τῷ κυρίῳ, ἐνορκίζων αὐτοὺς ἀναγνῶναι τὴν ἐπιστολὴν ταύτην πᾶσι τοῖς ἀδελφοῖς.

πρὸς θεσσα



# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ ΠΡΩΤΗ.

## Κεφάλαιον πρῶτον.

ΠΑΥΛΟΣ καὶ σιλουανὸς καὶ τιμόθεος, I
τῇ ἐκκλησίᾳ θεσσαλονικέων, ἐν θεῷ πατρὶ
καὶ κυρίῳ Ἰησοῦ Χριστῷ. χάρις ὑμῖν καὶ εἰρή-
νη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ
Χριστοῦ. εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε πε-
ρὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι
ἐπὶ τῶν προσευχῶν ἡμῶν, ἀδιαλείπτως μνημονεύοντες ὑμῶν
τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομο-
νῆς τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ
θεοῦ καὶ πατρὸς ἡμῶν, εἰδότες ἀδελφοὶ ἠγαπημένοι ὑπὸ θεοῦ
τὴν ἐκλογὴν ὑμῶν, ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑ-
μᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁ-
γίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε, οἷοι ἐγενήθημεν
ἐν ὑμῖν δι' ὑμᾶς καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε, καὶ τοῦ κυ-
ρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς πνεύ-
ματος ἁγίου. ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύου-
σιν ἐν τῇ μακεδονίᾳ καὶ ἀχαΐᾳ. ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λό-
γος τοῦ κυρίου, οὐ μόνον ἐν τῇ μακεδονίᾳ καὶ ἀχαΐᾳ, ἀλλὰ καὶ
ἐν παντὶ τόπῳ, ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυθεν, ὥστε
μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. αὐτοὶ γὰρ περὶ ὑμῶν ἀπαγγέλ-
λουσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπε-
στρέψατε πρὸς τὸν θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν θεῷ ζῶντι,
καὶ ἀληθινῷ, καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγει-
ρεν ἐκ νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς

II ἐρχομένης. Κ. β. Αὐτοὶ γὰρ οἴδατε ἀδελφοὶ τὴν εἴσοδον ἡ-
μῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν, ἀλλὰ καὶ προπαθόντες
ὑβρισθέντες, καθὼς οἴδατε ἐν φιλίπποις ἐπαῤῥησιασάμεθα
ἐν τῷ θεῷ ἡμῶν, λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐν
πολλῷ ἀγῶνι. ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ
ἀκαθαρσίας, οὔτε ἐν δόλῳ, ἀλλὰ καθὼς δεδοκιμάσμεθα
ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτως λαλοῦμεν, οὐχ
ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ θεῷ, τῷ δοκιμάζοντι
τὰς καρδίας ἡμῶν. Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγε-
νήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας, θεὸς
μάρτυς, οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν,
οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι, ὡς Χριστοῦ ἀπόστο-
λοι, ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλ-
πῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν
μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς
ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε. Μνημονεύε-
τε γὰρ ἀδελφοὶ τὸν κόπον ἡμῶν, καὶ τὸν μόχθον. νυκτὸς γὰρ καὶ
ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκη-
ρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ, ὑμεῖς μάρτυρες καὶ
ὁ θεός, ὡς ὁσίως, καὶ δικαίως, καὶ ἀμέμπτως ὑμῖν τοῖς πι-
στεύουσιν ἐγενήθημεν. καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν,
ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθού-
μενοι καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ
θεοῦ, τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.
Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ θεῷ ἀδιαλείπτως, ὅτι
παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ θεοῦ, ἐδέξασθε οὐ
λόγον ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς λόγον θεοῦ, ὃς καὶ
ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν. ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε
ἀδελφοὶ τῶν ἐκκλησιῶν τοῦ θεοῦ, τῶν οὐσῶν ἐν τῇ ἰουδαίᾳ, ἐν Χρι-



στῷ Ἰησοῦ, ὅτι ταῦτα ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυ-
λετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν ἰουδαίων, τῶν καὶ τὸν κύριον ἀπο-
κτεινάντων Ἰησοῦν, καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιω-
ξάντων, καὶ θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντί-
ων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν, εἰς
τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ'
αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. ὑμεῖς δὲ ἀδελφοὶ ἀπορφανισθέν-
τες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας προσώπῳ, οὐ καρδίᾳ, πε-
ρισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ
ἐπιθυμίᾳ. διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦ-
λος, καὶ ἅπαξ καὶ δίς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς. Τίς γὰρ
ἡμῶν ἐλπίς, ἢ χαρά, ἢ στέφανος καυχήσεως, ἢ οὐχὶ καὶ ὑμεῖς,
ἔμπροσθεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν τῇ αὐτοῦ παρουσίᾳ;
Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά. Κεφ. γ. Διὸ μη- III
κέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν ἀθήναις μόνοι, καὶ
ἐπέμψαμεν τιμόθεον τὸν ἀδελφὸν ἡμῶν, καὶ διάκονον τοῦ θεοῦ
καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι
ὑμᾶς, καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν, τῷ μηδέ-
να σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε, ὅτι
εἰς τοῦτο κείμεθα. καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν
ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο καὶ οἴδατε.
Διὰ τοῦτο κἀγὼ μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν πί-
στιν ὑμῶν, μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν
γένηται ὁ κόπος ἡμῶν. Ἄρτι δὲ ἐλθόντος τιμοθέου πρὸς ἡ-
μᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν, καὶ τὴν
ἀγάπην ὑμῶν. καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντο-
τε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς. Διὰ
τοῦτο παρεκλήθημεν ἀδελφοὶ ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει,
καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως. ὅτι νῦν ζῶμεν,

ἐὰν ὑμεῖς στήκετε ἐν κυρίῳ. Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα
τῷ θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ, ᾗ χαί-
ρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας ὑ-
περεκπερισσοῦ δεόμενοι, εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ
καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν. αὐτὸς δὲ ὁ θεὸς καὶ
πατὴρ ἡμῶν καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν
ὁδὸν ἡμῶν πρὸς ὑμᾶς. ὑμᾶς δὲ ὁ κύριος πλεονάσαι καὶ πε-
ρισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους, καὶ εἰς πάντας, καθάπερ
καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμ-
πτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ
παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων τῶν ἁγίων
IIII αὐτοῦ. Κεφ. δ. Τὸ λοιπὸν οὖν ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ
παρακαλοῦμεν ἐν κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡ-
μῶν, τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν, καὶ ἀρέσκειν θεῷ, ἵνα περισ-
σεύητε μᾶλλον. οἴδατε γάρ, τίνας παραγγελίας ἐδώκαμεν
ὑμῖν διὰ τοῦ κυρίου Ἰησοῦ. τοῦτο γάρ ἐστι θέλημα τοῦ θεοῦ, ὁ ἁγια-
σμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, εἰδέναι ἕκα-
στον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν
πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη, τὰ μὴ εἰδότα τὸν θε-
όν, τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀ-
δελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ κύριος περὶ πάντων τούτων,
καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ διεμαρτυράμεθα. οὐ γὰρ ἐκά-
λεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. τοι-
γαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεόν, τὸν
δόντα τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς ὑμᾶς. περὶ δὲ τῆς φιλα-
δελφίας, οὐ χρείαν ἔχετε γράφειν ὑμῖν, αὐτοὶ γὰρ ὑμεῖς θεο-
δίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. καὶ γὰρ ποιεῖτε αὐ-
τὸ εἰς πάντας τοὺς ἀδελφούς, τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ. πα-
ρακαλοῦμεν δὲ ὑμᾶς ἀδελφοί, περισσεύειν μᾶλλον καὶ φιλο-



τιμεῖσθαι, ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς
ἰδίαις χερσὶν ὑμῶν. καθὼς ὑμῖν παρηγγείλαμεν, ἵνα περι-
πατεῖτε εὐσχημόνως πρὸς τοὺς ἔξω, μηδενὸς χρείαν ἔχητε.
Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων, ἵνα
μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα. εἰ
γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτως καὶ ὁ θεὸς
τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει σὺν αὐτῷ. τοῦτο γὰρ ὑμῖν
λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμε-
νοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμη-
θέντας, ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέ-
λου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νε-
κροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες,
οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέ-
λαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν
κυρίῳ ἐσόμεθα. Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις
τούτοις. Κεφ. ε. Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν ἀδελ-
φοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι. αὐτοὶ γὰρ ἀκριβῶς οἴδα-
τε, ὅτι ἡ ἡμέρα κυρίου, ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται.
ὅταν γὰρ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐ-
τοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ
οὐ μὴ ἐκφύγωσιν, ὑμεῖς δὲ ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα
ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. πάντες ὑμεῖς υἱοὶ φω-
τός ἐστε, καὶ υἱοὶ ἡμέρας. οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους. ἄ-
ρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ
νήφωμεν. οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυ-
σκόμενοι, νυκτὸς μεθύουσιν. ὑμεῖς δὲ ἡμέρας ὄντες, νήφω-
μεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαί-
αν ἐλπίδα σωτηρίας. ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ θεὸς εἰς ὀργήν,
ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζήσωμεν. Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. Ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν, εἰρηνεύετε ἐν αὐτοῖς. Παρακαλοῦμεν δὲ ὑμᾶς ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. ὁρᾶτε, μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας. πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. τοῦτο γὰρ θέλημα θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. τὸ πνεῦμα μὴ σβέννυτε. προφητείας μὴ ἐξουθενεῖτε. πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε. ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχή, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει. ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ. ὁρκίζω ὑμᾶς τὸν κύριον ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν.

Πρὸς θεσσαλονικεῖς πρώτη ἐγράφη
ἀπὸ ἀθηνῶν.



## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

T

ΑΥτὴν ἐπιστέλλει ἀπὸ ῥώμης, ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. τινὲς ἀπὸ θεσσαλονίκης ἀργοὶ καὶ ἄτακτοι περιεργαζόμενοι, τοὺς ἀδελφοὺς ἀφήρπαζον, ὡς ἤδη τῆς παρουσίας τοῦ κυρίου ἐνστάσης, ἠπάτων δὲ τοὺς ἀκούοντας, ὡς τοῦ ἀποστόλου τοῦτο δηλοῦντος, καὶ ὑπὸ πνεύματος ἀκούσαντες. Ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστολος, γράφει τὴν ἐπιστολήν. καὶ πρῶτον μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν αὐξάνουσαν, καὶ ὅτι ἐν αὐτοῖς ἐκαυχᾶτο, τὰς θλίψεις γενναίως ὑποφέρουσι διὰ τὸν Χριστόν. καὶ παραμυθεῖται δὲ αὐτοὺς ὡς ἐσομένης ἐκδικίας παρὰ τοῦ θεοῦ κατὰ τῶν αὐτοὺς ἐκδιωκόντων. ἔπειτα περὶ τῆς παρουσίας τοῦ σωτῆρος διδάσκει, μηδενὶ αὐτοὺς πείθεσθαι, μὴ δὲ θροεῖσθαι αὐτούς, μήτε διὰ πνεύματος, μήτε ὡς αὐτοῦ γράψαντος, μηθ' ὅλως νομίζειν ἤδη παρεῖναι αὐτήν. Μὴ γὰρ πρότερον ἔσεσθαι αὐτήν, ἐὰν μὴ ἡ ἀποστασία πρῶτον ἔλθῃ. καὶ μετ' αὐτὴν ὁ ἀντίχριστος, ὁ υἱὸς τῆς ἀπωλείας, οὗ τὴν παρουσίαν ἐν σημείοις καὶ τέρασι ψευδοῦς κατ' ἐνέργειαν τοῦ σατανᾶ ἔσεσθαι, σημαίνει. εἶτα παραινέσας αὐτοῖς στήκειν γενναίως, καὶ κρατεῖν τὰς παραδόσεις, ἃς ἐδιδάχθησαν παρ' αὐτοῦ, παραγγέλλει μηδὲ μίαν κοινωνίαν ἔχειν μετὰ τῶν ἀτάκτων, ἀλλὰ ἀποβάλλειν αὐτούς. εἶναι γὰρ καὶ περιέργους καὶ πλάνους ἐδήλωσε τοὺς τοιούτους. καὶ καθόλου δὲ παρήγγειλε τὸν μὴ ὑπακούοντα τοῖς λόγοις αὐτοῦ, τοῦτον ἀποσυνάγωγον γίνεσθαι. καὶ λοιπὸν ἐπευξάμενος αὐτοῖς εἰρήνην, τελειοῖ τὴν ἐπιστολήν, τὸν ἀσπασμὸν τῇ ἰδίᾳ χειρὶ γράψας, ὅπερ σημεῖον εἶναι πάσης ἐπιστολῆς δεδήλωκεν.

# ΠΡΟΣ ΤΟΥΣ ΘΕΣΣΑ ΛΟΝΙΚΕΙΣ ΕΠΙΣ ΤΟΛΗ ΔΕΥΤΕ ΡΑ.

I ΑΥΛΟΣ καὶ σιλουανὸς καὶ τιμόθεος,
τῇ ἐκκλησίᾳ θεσσαλονικέων ἐν θεῷ πατρὶ
π ἡμῶν καὶ κυρίῳ Ἰησοῦ Χριστῷ. Χάρις ὑ-
μῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ
κυρίου Ἰησοῦ Χριστοῦ. εὐχαριστεῖν ὀφείλο-
μεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελφοί,
καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονά-
ζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους, ὥστε ἡ-
μᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ,
ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως, ἐν πᾶσι τοῖς διωγμοῖς
ὑμῶν, καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε, ἔνδειγμα τῆς δικαί-
ας κρίσεως τοῦ θεοῦ. εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλεί-
ας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε. εἴπερ δίκαιον παρὰ θεῷ, ἀν-
ταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς, θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβο-
μένοις ἄνεσιν μεθ' ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ
ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, ἐν πυρὶ φλογὸς,
διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεὸν, καὶ τοῖς μὴ ὑπακού-
ουσι τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οἵτινες δί-
κην τίσουσιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώπου τοῦ κυρίου, καὶ
ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν
τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύουσιν, ὅτι ἐ-
πιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἰς ὃ
καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς
κλήσεως ὁ θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύ-



νης, καὶ ἔργον πίστεως ἐν δυνάμει, ὅπως ἐνδοξασθῇ τὸ ὄνομα
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν
χάριν τοῦ θεοῦ ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Κεφ. β. II
Ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοὶ ὑπὲρ παρουσίας τοῦ κυρίου ἡμῶν Ἰη-
σοῦ Χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτὸν, εἰς τὸ μὴ ταχέ-
ως σαλευθῆναι ὑμᾶς ἀπὸ νοὸς, μήτε θροεῖσθαι, μήτε διὰ πνεύ-
ματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς
ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ, μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ
μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀπο-
καλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,
ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν,
ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ, ὡς θεὸν καθίσαι, ἀ-
ποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ θεός. οὐ μνημονεύετε, ὅτι ἔτι ὢν
πρὸς ὑμᾶς, ταῦτα ἔλεγον ὑμῖν; καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς
τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. τὸ γὰρ μυστήριον ἤδη
ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου
γένηται, καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος ἀναλώ-
σει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανεί-
ᾳ τῆς παρουσίας αὐτοῦ, οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σα-
τανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις, καὶ τέρασι ψεύδους, καὶ
ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν
τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο, εἰς τὸ σωθῆναι αὐ-
τούς. καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης,
εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσι πάντες οἱ μὴ
πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. ἡ-
μεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀ-
δελφοὶ ἠγαπημένοι ὑπὸ κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ θεὸς ἀπ'
ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ πίστει ἀλη-
θείας, εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ εὐαγγελίου ἡμῶν, εἰς περι-

ποίησιν δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἄρα οὖν ἀδελφοί,
στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε
διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν, αὐτὸς δὲ ὁ κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς καὶ ὁ θεὸς καὶ πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς
καὶ δοὺς παράκλησιν αἰωνίαν, καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, πα
ρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λό
III γῳ καὶ ἔργῳ ἀγαθῷ. Κεφ. γ. Τὸ λοιπόν, προσεύχεσθε ἀδελ
φοὶ περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς
καὶ πρὸς ὑμᾶς, καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀν
θρώπων. οὐ γὰρ πάντων ἡ πίστις, πιστὸς δέ ἐστιν ὁ κύριος, ὃς στηρί
ξει ὑμᾶς, καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. πεποίθαμεν δὲ ἐν κυρίῳ
ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσε
τε. ὁ δὲ κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγά
πην τοῦ θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ. Παραγγέλλομεν
δὲ ὑμῖν ἀδελφοί, ἐν ὀνόματι τοῦ κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ,
στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος,
καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβεν παρ' ἡμῶν. αὐτοὶ
γὰρ οἴδατε, πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν
ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐλάβομεν παρά τινος, ἀλλ' ἐν κό
πῳ καὶ μόχθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπι
βαρῆσαί τινα ὑμῶν. οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα
ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε
ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέ
λει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀκούομεν γάρ τινας περιπα
τοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περι
εργαζομένους. Τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακα
λοῦμεν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐρ
γαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν, ὑμεῖς δὲ ἀδελφοί,
μὴ ἐκκακήσητε καλοποιοῦντες. εἰ δέ τις οὐχ ὑπακούει τῷ



λόγῳ ὑμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συνα
ναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ, καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ
νουθετεῖτε ὡς ἀδελφόν. αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δῴη
ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ. ὁ κύριος μετὰ
πάντων ὑμῶν. ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ παύλου, ὅ ἐστι σημεῖ-
ον ἐν πάσῃ ἐπιστολῇ. οὕτως γράφω. Η χάρις τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

Ἐγράφη ἀπὸ ἀθηνῶν.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Αὕτην ἐπιστέλλει ἀπὸ λαοδικείας. ἡ δὲ πρόφασις τῆς
Τ ἐπιστολῆς αὕτη. ἐν τῇ ἐφέσῳ τινὲς ἰουδαΐζοντες ἐπεχεί
ρουν ἑτεροδιδασκαλεῖν, καὶ ἀπατᾶν τοὺς ἀκεραίους προφά
σει τοῦ νόμου. τοῦτο δὲ μαθὼν ὁ ἀπόστολος, προτρέπει τιμόθεον ἐ
κεῖ προσμεῖναι πρὸς διόρθωσιν αὐτῶν. Γράφει δὲ τὴν ἐπιστολήν,
καὶ πρῶτον μὲν ὑπομιμνήσκει τιμόθεον, ἀδιστάκτως ἐν χριστῷ πίστιν,
διδάσκων αὐτὸν περὶ τοῦ νόμου κωλύειν τοὺς παρὰ τὴν ὀρθὴν διδα
σκαλίαν λαλοῦντας, ἐπιτιμᾶν τε αὐτούς. καὶ γὰρ καὶ αὐτὸς ὑμέναιον
καὶ ἀλέξανδρον ναυαγήσαντας περὶ τὴν πίστιν, παρέδωκε τῷ σα
τανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. ταῦτα ὑπομνήσας,
λοιπὸν διατάσσει αὐτῷ κανόνας ἐκκλησιαστικοὺς περὶ προσευ
χῆς, πότε καὶ ποῦ, καὶ περὶ τίνων δεῖ προσεύχεσθαι, περὶ τοῦ σι
γᾶν ἐν ἐκκλησίᾳ τὰς γυναῖκας, καὶ μᾶλλον μανθάνειν, καὶ μὴ
διδάσκειν αὐτάς. περὶ ἐπισκόπων καὶ πρεσβυτέρων, καὶ δια
κόνων, πῶς καὶ ὁποίους εἶναι δεῖ τοὺς καθισταμένους. περὶ τῶν
ἐν τῇ ἐκκλησίᾳ χηρῶν, ἀπὸ πόσων ἐτῶν χρὴ ταύτας καταλ

λέγονται, καὶ ὁσίας αὐτὰς εἶναι δεῖ, καὶ πῶς αὐταῖς δεῖ προσέ
χειν· περὶ τοῦ σωφρονεῖν τοὺς νεωτέρους, καὶ γαμεῖν μᾶλλον, καὶ μὴ
αἰσχρῶς ζῆν· περὶ τοῦ παραγγέλλειν τοῖς πλουσίοις, μὴ ὑψηλοφρο
νεῖν, μηδὲ ἐλπίζειν ἐπὶ πλούτῳ· περὶ τούτων διαταξάμενος προ
τρέπεται αὐτὸν ταῦτα διδάσκειν, καὶ μηκέτι ὑδροποτεῖν, προ
σέχειν δὲ ἑαυτῷ καὶ διδασκαλίᾳ, εἰδότα, ἔσονται καιροὺς ἐν
οἷς ἀποστήσονταί τινες τῆς πίστεως. διδάξας δὲ καθαρὰ εἶναι
καὶ τὰ βρώματα, καὶ παραγγείλας αὐτῷ ἐκτρέπεσθαι τὰς ἐμφι
λονείκους ζητήσεις ὡς βεβήλους, ἐφ' αἷς τινες καυχώμενοι
παρέβησαν τὴν πίστιν, οὕτω τελειοῖ τὴν ἐπιστολήν.

# ΠΡΟΣ ΤΟΝ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

I ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ'
ἐπιταγὴν θεοῦ σωτῆρος ἡμῶν, καὶ κυρίου
Ἰησοῦ Χριστοῦ. τῆς ἐλπίδος ἡμῶν· Τιμο
θέῳ γνησίῳ τέκνῳ ἐν πίστει. Χάρις, ἔλεος
εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰη
σοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. καθὼς παρε
κάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδο
νίαν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προ
σέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις
παρέχουσι μᾶλλον, ἢ οἰκοδομίαν θεοῦ τὴν ἐν πίστει. τὸ δὲ τέ
λος τῆς παραγγελίας ἐστὶν, ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ
συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου. ὧν τινες ἀστοχήσαν
τες, ἐξετράπησαν εἰς ματαιολογίαν, θέλοντες εἶναι νομοδιδά
σκαλοι μὴ νοοῦντες ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.



Οἴδαμεν δὲ, ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως
χρῆται, εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ
καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βε
βήλοις, πατρολῴαις καὶ μητρολῴαις, ἀνδροφόνοις, πόρνοις, ἀρ
σενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι
ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται κατὰ τὸ εὐαγγέ
λιον τῆς δόξης τοῦ μακαρίου θεοῦ, ὃ ἐπιστεύθην ἐγώ. καὶ χάριν
ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν,
ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, τὸν πρότερον
ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστὴν, ἀλλὰ καὶ ἠλεή
θην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. ὑπερεπλεόνασε δὲ ἡ χά
ρις τοῦ κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης, τῆς ἐν Χριστῷ Ἰη
σοῦ. Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς
Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος
εἰμὶ ἐγώ. ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξη
ται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπω
σιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. τῷ δὲ
βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ θεῷ, τιμὴ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Ταύτην τὴν παραγ
γελίαν παρατίθεμαί σοι τέκνον Τιμόθεε, κατὰ τὰς προαγού
σας ἐπί σε προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν
στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπω
σάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν, ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξ
ανδρος, οὓς παρέδωκα τῷ σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασ
φημεῖν. Κεφ. β. Παρακαλῶ οὖν, πρῶτον πάντων ποιεῖ II
σθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων
ἀνθρώπων, ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων
ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ
σεμνότητι. τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος

ἡμῶν θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐ-
πίγνωσιν ἀληθείας ἐλθεῖν. εἷς γὰρ θεός, εἷς καὶ μεσίτης θε-
οῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν
ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις, εἰς
ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος, ἀλήθειαν λέγω ἐν Χριστῷ,
οὐ ψεύδομαι, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. Βού-
λομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαί-
ροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. ὡ-
σαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰ-
δοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ
χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέ-
πει γυναιξὶν, ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν.
γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. Γυναικὶ δὲ
διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ' εἶ-
ναι ἐν ἡσυχίᾳ. Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα, καὶ
Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέ-
γονε, σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν
πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης. Κεφ. γ.
III Πιστὸς ὁ λόγος εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐ-
πιθυμεῖ. δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναι-
κὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδα-
κτικόν, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ' ἐ-
πιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστά-
μενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος.
εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας θε-
οῦ ἐπιμελήσεται; Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα
ἐμπέσῃ τοῦ διαβόλου. δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν
ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ
διαβόλου. Διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ

οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ
μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. καὶ οὗτοι δὲ δοκιμα-
ζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες, γυ-
ναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους, νηφαλίους, πιστὰς
ἐν πᾶσι. διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων κα-
λῶς προϊστάμενοι, καὶ τῶν ἰδίων οἴκων. Οἱ γὰρ καλῶς διακονή-
σαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παῤ-
ῥησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Ταῦτά σοι γράφω, ἐλπί-
ζων ἐλθεῖν πρός σε τάχιον. ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς
δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶν-
τος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, καὶ ὁμολογουμένως μέ-
γα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. θεὸς ἐφανερώθη ἐν σαρκί,
ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἔθνεσιν, ἐ-
πιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. Κεφ. δ. Τὸ δὲ IIII
πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τι-
νες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδα-
σκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηρια-
σμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχε-
σθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν, εἰς μετάληψιν μετὰ εὐχα-
ριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν, ὅτι πᾶν κτί-
σμα θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμ-
βανόμενον. ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως. Ταῦ-
τα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ
Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς καλῆς
διδασκαλίας, ᾗ παρηκολούθηκας. τοὺς δὲ βεβήλους καὶ γραώ-
δεις μύθους παραιτοῦ, γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν.
ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ
εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας ἔχουσα
ζωῆς τῆς νῦν, καὶ τῆς μελλούσης. πιστὸς ὁ λόγος, καὶ πάσης

ἀποδοχῆς ἄξιος. εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. παράγγελλε ταῦτα καὶ δίδασκε. μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ. ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν. ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς. τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου. Κεφ. ε.

V Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς, πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ. Χήρας τίμα, τὰς ὄντως χήρας. εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις, τοῦτο γάρ ἐστι καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ. ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη, ἤλπικεν ἐπὶ τὸν θεόν, καὶ προσμένει ταῖς δεήσεσι, καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας, ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν. εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. χήρα καταλεγέσθω, μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή, ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. νεωτέρας δὲ χήρας παραιτοῦ, ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας,

οὐ μόνον



οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι, καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ, λοιδορίας χάριν. ἤδη γάρ τινες ἐξετράπησαν, ὀπίσω τοῦ σατανᾶ. εἴ τις πιστός, ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ. Οἱ καλῶς προεστῶτες πρεσβύτεροι, διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. λέγει γὰρ ἡ γραφή, βοῦν ἀλοῶντα οὐ φιμώσεις, καὶ ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι. Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν. Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. σεαυτὸν ἁγνὸν τήρει. μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι, καὶ τὰ ἄλλως ἔχοντα, κρυβῆναι οὐ δύναται. Κεφ. ς.

VI Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. ταῦτα δίδασκε καὶ παρακάλει. εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μη

μένος ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί· παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν· ἀφίστασο ἀπὸ τῶν τοιούτων. Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας. Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα, ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον, καὶ ἀπώλειαν. ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία, ἧς τινὲς ὀρεγόμενοι, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. Σὺ δὲ ὦ ἄνθρωπε τοῦ θεοῦ, ταῦτα φεῦγε. δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραότητα, ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων. Παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον, μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ᾧ τιμὴ καὶ κράτος αἰώνιον, ἀμήν. Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ θεῷ τῷ ζῶντι τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπόλαυσιν, ἀγα-



θοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. ὦ Τιμόθεε τὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας, καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, ἥν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν.

Ἡ χάρις μετὰ σοῦ. Ἀμήν.

Ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΑΥΤΗΝ ἐπιστέλλει πάλιν ἀπὸ Ῥώμης. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. τῶν συναποδημούντων τῷ Παύλῳ καταλειψάντων αὐτόν, βουλόμενος αὐτὸς ὁ ἀπόστολος ἐλθεῖν Τιμόθεον πρὸς αὐτόν, γράφει τὴν ἐπιστολήν. καὶ πρῶτον μὲν σημαίνει ἑαυτὸν μνημονεύειν αὐτοῦ τῆς εὐλαβείας, καὶ τῆς τῶν προγόνων αὐτοῦ πίστεως. ἔπειτα δηλοῖ, ὅτι οἱ ἀπὸ Ἀσίας, ὧν ἐστὶ Φύγελλος καὶ Ἑρμογένης, ἀπεστράφησαν αὐτόν, ὁρῶντες αὐτοῦ τὰς ἁλύσεις. μόνῳ δὲ Ὀνησιφόρῳ μαρτυρεῖ σπουδήν, καὶ τοῦτο ἀπεδείξατο, ἐλθόντα εἰς τὴν Ῥώμην, καὶ προσμείναντα αὐτῷ. παραγγέλλει δὲ αὐτῷ παραιτεῖσθαι τὰς μωρὰς ζητήσεις, διὰ τὸ ἐξ αὐτῶν γεννᾶσθαι μάχας. καὶ ὅτι Ὑμέναιος καὶ Φιλητὸς οὕτως ἐκτραπέντες, παρέβησαν τὴν ἀλήθειαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καί τινας ἀνατρέπουσι. μάλιστα οὖν παραινεῖ αὐτῷ προσέχειν ἑαυ-

τῇ. καὶ τῇ διδασκαλίᾳ, καὶ εἰδέναι μὲν, ὅτι ἐν ἐσχάτοις και-
ροῖς ἔσονται οἱ ἄνθρωποι φίλαυτοι, καὶ φιλήδονοι μᾶλλον ἢ
φιλόθεοι. προβλέποντα δὲ ταῦτα, ἀσφαλίζεσθαι τοὺς λαοὺς,
μήτις ἐξ αὐτῶν ἀπατηθῇ, καὶ εἰς τὰ ἔθνη, καὶ εἰς τὴν τῆς δι-
δασκαλίας ἀκρίβειαν πολλὰ προτρεψάμενος αὐτὸν, καὶ σημά-
νας τὸν καιρὸν τῆς ἀναλύσεως αὐτοῦ ἐνεστῆναι, καὶ μέλλειν ἀπο-
δῆσθαι καὶ μαρτυρεῖν, ἐνετείλατο αὐτῷ ἐλθεῖν πρὸς αὐτὸν τα-
χέως, κομίζοντα τὸν φαιλόνην καὶ τὰ βιβλία. παρήνεσε δὲ αὐτῷ
ἀλέξανδρον τὸν χαλκέα φυλάττεσθαι, ὡς πολλὰ κακὰ ἐνδειξά-
μενον αὐτῷ, καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

# ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

I Κεφάλαιον πρῶτον.

ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ
θελήματος θεοῦ, κατ᾽ ἐπαγγελίαν ζωῆς
π τῆς ἐν Χριστῷ Ἰησοῦ, τιμοθέῳ ἀγαπητῷ
τέκνῳ. Χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ
πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.
Χάριν ἔχω τῷ θεῷ, ᾧ λατρεύω ἀπὸ προ-
γόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ
σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας, ἐπιπο-
θῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρω-
θῶ, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις
ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου λωΐδι, καὶ τῇ μητρί σου εὐ-
νίκῃ. πέπεισμαι δὲ, ὅτι καὶ ἐν σοί. δι᾽ ἣν αἰτίαν ἀναμιμνήσκω
σε, ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς



ἐπιθέσεως τῶν χειρῶν μου. οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δει-
λίας, ἀλλὰ δυνάμεως, καὶ ἀγάπης, καὶ σωφρονισμοῦ. Μὴ
οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν, μηδὲ ἐμὲ, τὸν
δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύ-
ναμιν θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ,
οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ᾽ ἰδίαν πρόθεσιν καὶ χάριν,
τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων. φα-
νερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζω-
ὴν, καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου, εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ
καὶ ἀπόστολος, καὶ διδάσκαλος ἐθνῶν, δι᾽ ἣν αἰτίαν καὶ ταῦτα
πάσχω, ἀλλ᾽ οὐκ ἐπαισχύνομαι. οἶδα γὰρ, ᾧ πεπίστευκα, καὶ
πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παρακαταθήκην μου φυλά-
ξαι εἰς ἐκείνην τὴν ἡμέραν. ὑποτύπωσιν ἔχε ὑγιαινόντων λό-
γων, ὧν παρ᾽ ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ, τῇ ἐν Χριστῷ
Ἰησοῦ. τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ πνεύματος ἁ-
γίου, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν
με πάντες οἱ ἐν τῇ ἀσίᾳ, ὧν ἐστι φύγελλος καὶ ἑρμογένης. δῴη
ἔλεος ὁ κύριος τῷ ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυ-
ξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπησχύνθη, ἀλλὰ γενόμενος ἐν ῥώ-
μῃ, σπουδαιότερον ἐζήτησέ με, καὶ εὗρε. δῴη αὐτῷ ὁ κύριος
εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ὅσα ἐν ἐφέ-
σῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις. Κεφ. β. Σὺ οὖν II
τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι, τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ
ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων. ταῦτα παρά-
θου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται, καὶ ἑτέρους δι-
δάξαι. σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης Ἰησοῦ Χρι-
στοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγμα-
τείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις,

οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. τὸν κοπιῶντα γεωργὸν
δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. νόει ἃ λέγω. δῴη γὰρ
σοι ὁ κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε, Ἰησοῦν Χριστὸν ἐγη-
γερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐαγγέλιόν
μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος, ἀλλ' ὁ λό-
γος τοῦ θεοῦ οὐ δέδεται. διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκ-
λεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι. τῆς ἐν Χριστῷ Ἰησοῦ,
μετὰ δόξης αἰωνίου. Πιστὸς ὁ λόγος. εἰ γὰρ συναπεθάνομεν, καὶ
συζήσομεν. εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. εἰ ἀρνούμε-
θα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς. εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μέ-
νει, ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. ταῦτα ὑπομίμνησκε, διαμαρ-
τυρόμενος ἐνώπιον τοῦ κυρίου. μὴ λογομαχεῖν, εἰς οὐδὲν χρή-
σιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. σπούδασον σεαυτὸν δόκι-
μον παραστῆσαι τῷ θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦν-
τα τὸν λόγον τῆς ἀληθείας. τὰς δὲ βεβήλους κενοφωνίας πε-
ρίιστασο. ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος
αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει. ὧν ἐστιν ὑμέναιος καὶ φιλητός,
οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν
ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τήν τινων πίστιν. ὁ μέντοι στε-
ρεὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην,
ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ, καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς
ὁ ὀνομάζων τὸ ὄνομα Χριστοῦ. ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον
σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα, καὶ ὀστράκινα,
καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. ἐὰν οὖν τις ἐκκαθάρῃ
ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔ-
χρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.
Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε. δίωκε δὲ δικαιοσύνην,
πίστιν, ἀγάπην, εἰρήνην, μετὰ τῶν ἐπικαλουμένων τὸν κύρι-
ον ἐκ καθαρᾶς καρδίας. Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους



ζητήσεις παραιτοῦ, εἰδώς, ὅτι γεννῶσι μάχας. δοῦλον
δὲ κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας,
διδακτικόν, ἀνεξίκακον ἐν πρᾳότητι, παιδεύοντα τοὺς
ἀντιδιατιθεμένους, μή ποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν
εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ δια-
βόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλη-
μα. Κεφάλ. γ. Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν III
ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ
οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι,
βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄ-
σπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προ-
δόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθε-
οι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνη-
μένοι, καὶ τούτους ἀποτρέπου. ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες
εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτεύοντες τὰ γυναικάρια σεσωρευ-
μένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε
μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυ-
νάμενα. Ὃν τρόπον δὲ ἰαννῆς καὶ ἰαμβρῆς ἀντέστησαν μωσῇ, οὕ-
τως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι
τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν, ἀλλ' οὐ προκόψουσιν ἐπὶ
πλεῖον. Ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκεί-
νων ἐγένετο. Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ
ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ
ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγέ-
νετο ἐν ἀντιοχείᾳ, ἐν ἰκονίῳ, ἐν λύστροις, οἵους διωγμοὺς
ὑπήνεγκα. καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κύριος, καὶ πάντες
δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται.
πονηροὶ δὲ ἄνθρωποι, καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον,
πλανῶντες καὶ πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες,

καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους
τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σω-
τηρίαν διὰ πίστεως, τῆς ἐν Χριστῷ Ἰησοῦ. Πᾶσα γραφὴ θεό-
πνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον,
πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα
ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτι-
IIII σμένος. Κ. δ. Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ
τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς
κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὴν βασιλείαν αὐτοῦ. κήρυξον
τὸν λόγον. ἐπίστηθι εὐκαίρως, ἀκαίρως. ἔλεγξον, ἐπιτίμησον,
παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. ἔσται γὰρ και-
ρὸς, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ
κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι δι-
δασκάλους, κνηθόμενοι τὴν ἀκοὴν, καὶ ἀπὸ μὲν τῆς ἀληθεί-
ας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται.
Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελι-
στοῦ, τὴν διακονίαν σου πληροφόρησον. ἐγὼ γὰρ ἤδη σπένδο-
μαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. τὸν ἀγῶνα
τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρη-
κα. λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀ-
ποδώσει μοι ὁ κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτὴς,
οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνει-
αν αὐτοῦ. σπούδασον ἐλθεῖν πρός με ταχέως. Δημᾶς γάρ
με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς
θεσσαλονίκην. κρήσκης εἰς γαλατίαν, τίτος εἰς δαλματίαν.
λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ. μάρκον ἀναλαβὼν ἄγε μετὰ σε-
αυτοῦ, ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. τυχικὸν δὲ ἀπέ-
στειλα εἰς ἔφεσον. τὸν φαιλόνην, ὃν ἀπέλιπον ἐν τρωάδι παρὰ
κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμ-



βράνας. Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο,
ἀποδῴη αὐτῷ ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ, ὃν καὶ σὺ φυλάσ-
σου, λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις, ἐν τῇ πρώτῃ
μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγ-
κατέλιπον. μὴ αὐτοῖς λογισθείη, ὁ δὲ κύριός μοι παρέστη, καὶ
ἐνεδυνάμωσέ με, ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ, καὶ
ἀκούσῃ πάντα τὰ ἔθνη, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος, καὶ
ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ σώσει εἰς
τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν
αἰώνων, ἀμήν. Ἄσπασαι πρίσκαν καὶ ἀκύλαν, καὶ τὸν ὀνησιφό-
ρου οἶκον. ἔραστος ἔμεινεν ἐν κορίνθῳ, τρόφιμον δὲ ἀπέλιπον
ἐν μιλήτῳ ἀσθενοῦντα. σπούδασον πρὸ χειμῶνος ἐλθεῖν.
Ἀσπάζεταί σε εὔβουλος, καὶ πούδης, καὶ λῖνος, καὶ
κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες. ὁ κύριος Ἰη-
σοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου.
Ἡ χάρις μεθ᾽ ὑμῶν. ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης ἡ πρὸς τιμόθεον δευτέ-
ρα, ὅτε παρέστη παῦλος τῷ καίσαρι
νέρωνι ἐκ δευτέρου πάλιν.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΣ ΠΑΥΛΟΥ.

ΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Νικοπόλεως, ἐκεῖ γὰρ παρεχείμαζεν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ὡς μὲν τὴν Κρήτην ἀπέλιπεν ἐν Τίτον, ἵνα καταστήσῃ κατὰ πόλεις κληρικούς. πολλῶν δὲ ὄντων ἐκεῖ τῶν ἐπιχειρούντων προφάσει τοῦ νόμου ἀπατᾶν τοὺς λαούς, μαθὼν ὁ Παῦλος γράφει. καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ θεῷ διὰ τὴν αὐτοῦ εὐλάβειαν, σημαίνει τὴν ἐν Χριστῷ πίστιν μὴ νεωτέραν εἶναι, ἀλλ' ἐξ αἰῶνος ἡτοιμάσθαι καὶ ἐπηγγέλθαι παρὰ τοῦ θεοῦ ταύτην. ἔπειτα περὶ τῆς καταστάσεως τῶν κληρικῶν καὶ τούτων διδάσκει πῶς, καὶ ὁποίους αὐτοὺς εἶναι δεῖ. καὶ ἐπιτιμᾶν δὲ ἐντέλλεται αὐτῷ τοῖς ἀντιλέγουσι τῇ ὑγιαινούσῃ πίστει, μάλιστα δὲ τοὺς ἐκ περιτομῆς. ἐλέγχει τε τοὺς Κρῆτας, ὅτι ἀργοί εἰσι, καὶ χρῄζουσιν ἐπιτιμίας. διδάσκει δὲ πάντα τὰ βρώματα καθαρὰ εἶναι τοῖς καθαροῖς, καὶ ὁποίας εἶναι δεῖ τὰς πρεσβύτιδας τὰς ὀφειλούσας σωφρονίζειν τὰς νέας. παραινεῖ πῶς δεῖ καὶ τοὺς δούλους τοῖς ἰδίοις δεσπόταις ὑπηρετεῖν. καὶ τέλος ὑπομνήσας, ὅτι ἡ τοῦ σωτῆρος χάρις οὐκ ἐξ ἔργων ἡμᾶς ἐδικαίωσεν, ἀλλὰ τῇ ἰδίᾳ φιλανθρωπίᾳ, καὶ παραγγείλας τὰς νομικὰς μάχας ἐκτρέπεσθαι ὡς οὔσας ἀναισχύντους, δηλοῖ αὐτῷ, μετὰ τὸ πέμψαι πρὸς αὐτὸν Ἀρτεμᾶν, ἵνα ἔλθῃ πρὸς αὐτόν. ἐνετείλατό τε αὐτῷ ὥστε διδάσκειν, καὶ τοὺς αὐτοῦ καλῶν ἔργων προΐστασθαι. καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.



## ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ.

Κεφάλαιον πρῶτον.

ΠΑΥΛΟΣ δοῦλος θεοῦ, ἀπόστολος δὲ I
Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας, τῆς κατ' εὐσέβειαν ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς θεὸς πρὸ χρόνων αἰωνίων. ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν. Χάρις, ἔλεος, εἰρήνη ἀπὸ θεοῦ πατρὸς, καὶ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. εἴ τις ἐστὶν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. εἰσὶ γὰρ πολλοὶ ἀνυπότακτοι, καὶ ματαιολόγοι, καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς, οὓς δεῖ ἐπιστομίζειν, οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν. εἶπέ τις ἐξ αὐτῶν, ἴδιος αὐτῶν προφήτης, Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως

ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, μὴ προσέχοντες Ἰουδαϊκοῖς μύ-
θοις, καὶ ἐντολαῖς ἀνθρώπων, ἀποστρεφομένων τὴν ἀλήθειαν.
Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιασμένοις, καὶ
ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ
ἡ συνείδησις. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦν-
ται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν
II ἀδόκιμοι. Κεφ. β. Σὺ δὲ λάλει, ἃ πρέπει τῇ ὑγιαινού-
σῃ διδασκαλίᾳ. Πρεσβύτας, νηφαλίους εἶναι, σεμνούς, σώ-
φρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. πρε-
σβύτιδας ὡσαύτως, ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβό-
λους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους,
ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, φιλοτέκνους, σώ-
φρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς
ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται. τοὺς
νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, περὶ πάντα σεαυτὸν
παρεχόμενος τύπον καλῶν ἔργων ἐν τῇ διδασκαλίᾳ, ἀδια-
φθορίαν, σεμνότητα, λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναν-
τίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον. Δούλους
ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ
ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυ-
μένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν θεοῦ
κοσμῶσιν ἐν πᾶσιν. Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ, ἡ σωτήρι-
ος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν
ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως
καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μα-
καρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ,
καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν,
ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ
λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ταῦτα λάλει, καὶ



παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. μηδείς σου περι-
φρονείτω. Κεφ. γ. Ὑπομίμνησκε αὐτούς, ἀρχαῖς καὶ ἐξου- III
σίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοί-
μους εἶναι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς πᾶ-
σαν ἐνδεικνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους. Ἦμεν
γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύον-
τες ἐπιθυμίαις, καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ
διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. Ὅτε δὲ ἡ χρηστότης,
καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔρ-
γων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν
αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνα-
καινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως,
διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκεί-
νου χάριτι, κληρονόμοι γενώμεθα, κατ' ἐλπίδα ζωῆς αἰωνίου.
πιστὸς ὁ λόγος. περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα
φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ θεῷ.
Ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ ζη-
τήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστα-
σο. εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. αἱρετικὸν ἄνθρωπον μετὰ
μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδώς, ὅτι ἐξέστραπται ὁ
τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω Ἀρ-
τεμᾶν πρός σε ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νι-
κόπολιν, ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν
καὶ Ἀπολλῶ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.
μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι, καλῶν ἔργων προΐστασθαι εἰς
τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί
σε οἱ μετ' ἐμοῦ πάντες. ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πί-
στει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν.

Ἐγράφη ἐκ Νικοπόλεως τῆς Μακεδονίας.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΣ

ΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ ῥώμης· ἡ δὲ πρόφα-
σις τῆς ἐπιστολῆς αὕτη. ὀνήσιμος ὁ οἰκέτης
γ φιλήμονος ἔφυγε, καὶ ἀπελθὼν πρὸς τὸν ἀπό-
στολον, κατηχήθη παρ᾽ αὐτοῦ, καὶ γέγονεν αὐτῷ
χρήσιμος εἰς διακονίαν. περὶ τούτου τοίνυν
γράφει φιλήμονι, παραιτούμενος αὐτῷ τὸν ὀνήσιμον, ἵνα προ-
σέχῃ αὐτῷ γνησίως, καὶ μηκέτι ἔχῃ αὐτὸν ὡς δοῦλον, ἀλλ᾽ ὡς
ἀδελφόν. προσετάξατο δὲ αὐτὸν καὶ ξενίαν αὐτῷ ἑτοιμάσαι,
ἵνα ἐὰν ἔλθῃ, εὕρῃ ποῦ μείνῃ· καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

## ΠΡΟΣ ΦΗΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

ΠΑΥΛΟΣ δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τι-
μόθεος ὁ ἀδελφὸς, φιλήμονι τῷ ἀγαπη-
π τῷ καὶ συνεργῷ ἡμῶν, καὶ ἀπφίᾳ τῇ ἀγα-
πητῇ, καὶ ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν
καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ, Χάρις
ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν,
καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ θεῷ μου, πάντοτε μνεί-
αν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου τὴν
ἀγάπην καὶ τὴν πίστιν, ἣν ἔχεις πρὸς τὸν κύριον Ἰησοῦν, καὶ
εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία τῆς πίστεώς σου
ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ, τοῦ ἐν ὑμῖν εἰς



Χριστὸν Ἰησοῦν. Χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν
ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται
διὰ σοῦ ἀδελφέ, διὸ πολλὴν ἐν Χριστῷ παῤῥησίαν ἔχων ἐπι-
τάσσειν σοι τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ,
τοιοῦτος ὢν, ὡς παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ
Χριστοῦ. παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς
δεσμοῖς μου, ὀνήσιμον, τὸν ποτέ σοι ἄχρηστον, νυνὶ δὲ σοὶ καὶ
ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα. σὺ δὲ αὐτὸν, τουτέστι, τὰ ἐμὰ
σπλάγχνα προσλαβοῦ, ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέ-
χειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγε-
λίου, χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα
μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον. τά-
χα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέ-
χῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ᾽ ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν,
μάλιστα ἐμοὶ, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ, καὶ ἐν κυρίῳ;
εἰ οὖν ἐμὲ ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. εἰ δέ τι
ἠδίκησέ σε, ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει. ἐγὼ παῦλος ἔγραψα
τῇ ἐμῇ χειρί. ἐγὼ ἀποτίσω. ἵνα μὴ λέγω σοι, ὅτι καὶ σεαυτόν
μοι προσοφείλεις. ναὶ ἀδελφέ. ἐγώ σου ὀναίμην ἐν κυρίῳ. ἀνά-
παυσόν μου τὰ σπλάγχνα ἐν κυρίῳ. πεποιθὼς τῇ ὑπακοῇ σου
ἔγραψά σοι, εἰδὼς, ὅτι καὶ ὑπὲρ ὃ λέγω, ποιήσεις. ἅμα δὲ καὶ
ἑτοίμαζέ μοι ξενίαν. ἐλπίζω γὰρ, ὅτι διὰ τῶν προσευχῶν ὑμῶν
χαρισθήσομαι ὑμῖν. Ἀσπάζονταί σε, ἐπαφρᾶς ὁ συναιχμά-
λωτός μου ἐν Χριστῷ Ἰησοῦ, μάρκος, ἀρίσταρχος, δημᾶς, λου-
κᾶς, οἱ συνεργοί μου. Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

Ἐγράφη ἀπὸ ῥώμης διὰ ὀνησίμου οἰκέτου.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

ΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ ἰταλίας, ἡ δὲ πρό-
φασις τῆς ἐπιστολῆς αὕτη. ἐπειδὴ οἱ ἰουδαῖ-
οι ἐνίσχυον τῷ νόμῳ καὶ ταῖς σκιαῖς, διὰ τοῦ-
το ὁ ἀπόστολος παῦλος διδάσκαλος ἐθνῶν γενό-
μενος, καὶ εἰς τὰ ἔθνη ἀποσταλεὶς, κηρύττειν
τὸ εὐαγγέλιον· γράψας τε πᾶσι τοῖς ἔθνεσιν, γράφει λοιπὸν
καὶ τοῖς ἐκ περιτομῆς πιστεύσασιν ἑβραίοις ἀποδεικτικὴν ταύ-
την ἐπιστολὴν, περὶ τῆς τοῦ Χριστοῦ παρουσίας, καὶ τοῦ πεπαῦσθαι
τὴν σκιὰν τοῦ νόμου. καὶ πρῶτον μὲν ἀποδείκνυσι τοὺς προφή-
τας ἀπεστάλθαι, ἵνα περὶ τοῦ σωτῆρος ἀπαγγείλωσι, καὶ μετ'
αὐτοὺς αὐτὸς ἦλθε, δούλους τε εἶναι τοὺς προφήτας, καὶ μη-
νυτὰς τῆς αὐτοῦ παρουσίας, αὐτὸν δὲ τὸν Χριστὸν υἱὸν εἶναι θε-
οῦ, δι' οὗ τὰ πάντα γέγονεν. καὶ ὅτι τὸν υἱὸν τοῦ θεοῦ ἔδει ἄνθρω-
πον γενέσθαι, ἵνα διὰ τῆς τοῦ σώματος αὐτοῦ θυσίας καταργή-
σῃ τὸν θάνατον, οὐ γὰρ δι' αἵματος μόσχου, ἢ τράγου, ἀλλὰ δι'
αἵματος χριστοῦ ἐστάθη τὴν σωτηρίαν τοῖς ἀνθρώποις. ἀποδεί-
κνυσι δὲ, ὅτι ὁ νόμος οὐδένα ἐτελείωσεν, ἀλλὰ σκιὰν εἶχε
τῶν μελλόντων ἀγαθῶν. καὶ οὐ κατέπαυσεν ὁ λαὸς, ἀλλὰ καὶ
νῦν πᾶσιν ὑμῖν ὑπολείπεται ἡ ἡμέρα τῆς καταπαύσεως. πάλιν
δὲ ἀποδείκνυσιν, ὅτι ἡ ἱεραρχικὴ λειτουργία μετετέθη ἀπὸ
Ααρὼν εἰς τὸν Χριστὸν, οὗ τύπος ἦν ὁ μελχισεδὲκ. οὐκ οὖν
ἐκ τοῦ λευὶ πίστει δεδικαιῶσθαι τοὺς πατέρας σημαίνει, καὶ οὐκ ἐξ
ἔργων νόμου. εἶτα πάλιν εἰς τὰ ἤθη προτρεψάμενος αὐτοὺς,
καὶ ἀποδεξάμενος αὐτῶν τὴν διὰ Χριστὸν ὑπομονὴν, καὶ πείσας
τιμᾶν τοὺς πρεσβυτέρους, τελειοῖ τὴν ἐπιστολήν.

Τοῦ ἁγίου



# ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΤΟΥΣ ΕΒΡΑΙΟΥΣ.

Κεφάλαιον πρῶτον.

Ολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς Ι
λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφή-
ταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων
ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονό-
μον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίη-
σεν. ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ
χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥή-
ματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμε-
νος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύ-
νης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων,
ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. τίνι γὰρ
εἶπέ ποτε τῶν ἀγγέλων, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέν-
νηκά σε; καὶ πάλιν, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς
ἔσται μοι εἰς υἱόν. ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς
τὴν οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι θεοῦ. καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς
ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλό-
γα. πρὸς δὲ τὸν υἱὸν, ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶ-
νος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου, ἠγά-
πησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ
σε ὁ θεὸς, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετό-
χους σου. καὶ, σὺ κατ' ἀρχὰς κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ

ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ ἀπολοῦνται, σὺ δὲ δια-
μένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ πε-
ριβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ
τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρη-
κέν ποτε; κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου. οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύ-
ματα, εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κλη-
II ρονομεῖν σωτηρίαν; Κεφ. β. Διὰ τοῦτο δεῖ περισσοτέρως
ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν. εἰ
γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα
παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς
ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥ-
τις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου, ὑπὸ τῶν ἀκουσάν-
των εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ θεοῦ ση-
μείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ πνεύμα-
τος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ ἀγγέ-
λοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν περὶ ἧς λαλοῦ-
μεν. διεμαρτύρατο δέ πού τις, λέγων, τί ἐστιν ἄνθρωπος ὅτι
μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάτ-
τωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφά-
νωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.
πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. ἐν τῷ γὰρ ὑποτά-
ξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν
δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα, τὸν δὲ βρα-
χύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πά-
θημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι
θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. ἔπρεπε γὰρ αὐτῷ, δι᾽ ὃν
τὰ πάντα, καὶ δι᾽ οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγα-
γόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν, διὰ παθημάτων



τελειῶσαι. ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες.
δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέ-
γων. ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκ-
κλησίας ὑμνήσω σε. καὶ πάλιν. ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐ-
τῷ. καὶ πάλιν. ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός.
ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς
παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ
τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλ-
λάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν
δουλείας. οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρμα-
τος ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖς
ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιε-
ρεὺς τὰ πρὸς τὸν θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ.
ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομέ-
νοις βοηθῆσαι. Κεφ. γ. Ὅθεν ἀδελφοὶ ἅγιοι, κλήσεως III
ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιε-
ρέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιή-
σαντι αὐτόν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος
γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ᾽ ὅσον πλείονα
τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κα-
τασκευάζεται ὑπό τινος. ὁ δὲ τὰ πάντα κατασκευάσας, θεός.
καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων,
εἰς μαρτύριον τῶν λαληθησομένων. Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ
τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παῤῥησίαν,
καὶ τὸ καύχημα τῆς ἐλπίδος, μέχρι τέλους βεβαίαν κατά-
σχῶμεν. διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, σήμερον ἐὰν
τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν
ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν
τῇ ἐρήμῳ. οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν

με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθι-
σα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ. αὐ-
τοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου,
εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. βλέπετε ἀδελφοί,
μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀ-
ποστῆναι ἀπὸ θεοῦ ζῶντος, ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ᾽ ἑ-
κάστην ἡμέραν ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυν-
θῇ τὶς ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. μέτοχοι γὰρ γεγόνα-
μεν τοῦ Χριστοῦ, ἐάν περ τὴν ἀρχὴν τῆς ὑποστάσεως, μέχρι τέ-
λους βεβαίαν κατάσχωμεν, ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν
τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑ-
μῶν, ὡς ἐν τῷ παραπικρασμῷ. τινὲς γὰρ ἀκούσαντες παρε-
πίκραναν, ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ αἰγύπτου διὰ μω-
σέως. Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁ-
μαρτήσασιν; ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμο-
σεν, μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπει-
θήσασι; καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπι-
IIII στίαν. Κεφ. δ. Φοβηθῶμεν οὖν, μή ποτε καταλειπομέ-
νης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις
ἐξ ὑμῶν ὑστερηκέναι. καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ
κἀκεῖνοι. ἀλλ᾽ οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους,
μὴ συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν. εἰσερχόμεθα
γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν, ὡς
ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν
μου, καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων.
εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτως. καὶ κατέπαυσεν
ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων ἔργων αὐτοῦ, καὶ
ἐν τούτῳ πάλιν. εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.
ἐπεὶ οὖν ἀπολείπεται, τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρό-



τερον εὐαγγελισθέντες, οὐκ εἰσῆλθον δι᾽ ἀπείθειαν, πάλιν τινὰ
ὁρίζει ἡμέραν σήμερον ἐν δαβὶδ λέγων, μετὰ τοσοῦτον χρό-
νον καθὼς εἴρηται. σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,
μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. εἰ γὰρ αὐτοὺς Ἰησοῦς κα-
τέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. ἄρα
ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ. ὁ γὰρ εἰσελθὼν εἰς
τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων
αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός. σπουδάσωμεν οὖν εἰσελ-
θεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τὶς ὑπο-
δείγματι πέσῃ τῆς ἀπειθείας. ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνερ-
γὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνού-
μενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ
μυελῶν καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ
ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. πάντα δὲ γυμνὰ καὶ τετραχηλι-
σμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος. ἔχοντες
οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς Ἰησοῦν τὸν υἱὸν
τοῦ θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. οὐ γὰρ ἔχομεν ἀρχιερέα
μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρα-
μένον δὲ κατὰ πάντα, καθ᾽ ὁμοιότητα χωρὶς ἁμαρτίας. προ-
σερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα
λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.
Κεφ. ε. Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμε- V
νος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεόν, ἵνα προσφέρῃ
δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος
τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένει-
αν. καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτως καὶ
περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. καὶ οὐχ ἑαυτῷ τὶς
λαμβάνει τὴν τιμήν, ἀλλὰ καὶ καλούμενος ὑπὸ τοῦ θεοῦ, καθά-
περ καὶ ὁ ἀαρών. Οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε

γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· υἱός μου εἶ
σύ, ἐγὼ σήμερον γεγέννηκά σε. καθὼς καὶ ἐν ἑτέρῳ λέγει· σὺ
ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ. ὃς ἐν ταῖς
ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν
δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς
καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας
καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν, καὶ τελει-
ωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν, αἴτιος σωτηρίας
αἰωνίου, προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τά-
ξιν μελχισεδέκ. Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμή-
νευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. καὶ γὰρ ὀφεί-
λοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε
τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θε-
οῦ, καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τρο-
φῆς. πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύ-
νης, νήπιος γάρ ἐστι. τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν
ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν κα-
VI λοῦ τε καὶ κακοῦ. Κ. ϛ. Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ χριστοῦ
λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον κατα-
βαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεόν,
βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νε-
κρῶν, καὶ κρίματος αἰωνίου. καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέ-
πῃ ὁ θεός. ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμέ-
νους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέν-
τας πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα, δυ-
νάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαι-
νίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ, καὶ
παραδειγματίζοντας. γῆ γάρ, ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλά-
κις ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις, δι'



οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ. ἐκ-
φέρουσα δὲ ἀκάνθας, καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας
ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν. πεπείσμεθα δὲ περὶ ὑμῶν ἀγαπη-
τοί, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦ-
μεν. οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κό-
που τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαν-
τες τοῖς ἁγίοις, καὶ διακονοῦντες. ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν
τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλ-
πίδος ἄχρι τέλους, ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ
πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.
Τῷ γὰρ ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεός, ἐπεὶ κατ' οὐδενὸς
εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων, ἦ μὴν εὐ-
λογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. καὶ οὕτως μα-
κροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας. ἄνθρωποι μὲν γὰρ κα-
τὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέ-
ρας, εἰς βεβαίωσιν ὁ ὅρκος. ἐν ᾧ περισσότερον βουλόμενος
ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετά-
θετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο πρα-
γμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι θεόν, ἰσχυ-
ρὰν παράκλησιν ἔχωμεν, οἱ καταφυγόντες κρατῆσαι τῆς προ-
κειμένης ἐλπίδος, ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς, ἀσφα-
λῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπε-
τάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς κα-
τὰ τὴν τάξιν μελχισεδέκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.
Κ. ζ. Οὗτος γὰρ ὁ μελχισεδὲκ βασιλεὺς σαλήμ, ἱερεὺς τοῦ VII
θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς
κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν, ᾧ καὶ δεκάτην ἀπὸ
πάντων ἐμέρισεν ἀβραάμ, πρῶτον μὲν ἑρμηνευόμενος βα-
σιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς σαλήμ, ὅ ἐστι, βα-

σιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρ-
χὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ
υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. Θεωρεῖτε δέ, πηλί-
κος οὗτος, ᾧ καὶ δεκάτην ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων
ὁ πατριάρχης. Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν λευὶ τὴν ἱερατείαν λαμβά-
νοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νό-
μον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ
τῆς ὀσφύος ἀβραάμ. ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δε-
δεκάτωκε τὸν ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλό-
γηκεν. χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείτ-
τονος εὐλογεῖται. καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρω-
ποι λαμβάνουσιν. ἐκεῖ δὲ μαρτυρούμενος. ὅτι ζῇ, καὶ ὡς ἔ-
πος εἰπεῖν, διὰ ἀβραὰμ καὶ λευί, ὁ δεκάτας λαμβάνων δεδε-
κάτωται. ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν
αὐτῷ ὁ μελχισεδέκ. εἰ μὲν οὖν τελείωσις διὰ τῆς λευιτι-
κῆς ἱερωσύνης ἦν, ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο, τίς ἔτι
χρεία, κατὰ τὴν τάξιν μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα,
καὶ οὐ κατὰ τὴν τάξιν ἀαρὼν λέγεσθαι; μετατιθεμένης γὰρ τῆς
ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. ἐφ' ὃν
γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς
προσέσχε τῷ θυσιαστηρίῳ. πρόδηλον γάρ, ὅτι ἐξ ἰούδα ἀνα-
τέταλκεν ὁ κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης
μωϋσῆς ἐλάλησε, καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κα-
τὰ τὴν ὁμοιότητα μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς
οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύνα-
μιν ζωῆς ἀκαταλύτου. μαρτυρεῖ γάρ, ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶ-
να κατὰ τὴν τάξιν μελχισεδέκ. Ἀθέτησις μὲν γὰρ γίνεται προαγού-
σης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. οὐδὲν γὰρ ἐτε-
λείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς



ἐγγίζομεν τῷ θεῷ, καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας. οἱ μὲν
γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, ὁ δὲ μετὰ ὁρ-
κωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτόν. ὤμοσε κύριος, καὶ οὐ
μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελ-
χισεδέκ, κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος
Ἰησοῦς, καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θα-
νάτῳ κωλύεσθαι παραμένειν. ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν
αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην, ὅθεν καὶ σώζειν εἰς τὸ
παντελὲς δύναται, τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ,
πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. Τοιοῦτος γὰρ ἡμῖν
ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμέ-
νος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενό-
μενος, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς,
πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπει-
τα τῶν τοῦ λαοῦ. τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας.
ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένει-
αν. ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς
τὸν αἰῶνα τετελειωμένον. Κεφ. η. Κεφάλαιον δὲ ἐπὶ τοῖς VIII
λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ
τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λει-
τουργός, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος,
καὶ οὐκ ἄνθρωπος. Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρα
καὶ θυσίας καθίσταται, ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον, ὃ προσε-
νέγκῃ. εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων
τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα. οἵτινες ὑποδείγματι
καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται
μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν. ὅρα γάρ φησι, ποιή-
σῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. νυνὶ
δὲ διαφορωτέρας τέτυχε λειτουργίας, ὅσῳ καὶ κρείττονός

ἐστὶ διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενο
μοθέτηται. Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευ
τέρας ἐζητεῖτο τόπος. μεμφόμενος γὰρ αὐτοῖς λέγει. ἰδοὺ ἡ
μέραι ἔρχονται, λέγει κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον ἰσ
ραὴλ, καὶ ἐπὶ τὸν οἶκον ἰούδα, διαθήκην καινήν, οὐ κατὰ τὴν
διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομέ
νου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου.
ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐ
τῶν, λέγει κύριος. ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ
ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει κύριος, διδοὺς νό
μους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπι
γράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι
εἰς λαόν. οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκα
στος τὸν ἀδελφὸν αὐτοῦ. λέγων, γνῶθι τὸν κύριον. ὅτι πάντες εἰ
δήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν, ὅτι ἵλε
ως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ
τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ἐν τῷ λέγειν καινήν,
πεπαλαίωκε τὴν πρώτην. τὸ δὲ παλαιούμενον καὶ γηράσκον,
IX ἐγγὺς ἀφανισμοῦ. Κεφ. θ. Εἶχε μὲν οὖν καὶ ἡ πρώτη δι
καιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. σκηνὴ γὰρ κατε
σκευάσθη ἡ πρώτη. ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθε
σις τῶν ἄρτων, ἥτις λέγεται ἅγια. μετὰ δὲ τὸ δεύτερον κα
ταπέτασμα σκηνή, ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυ
μιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης, περικεκαλυμμέ
νην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα,
καὶ ἡ ῥάβδος ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθή
κης. ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλα
στήριον, περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. τούτων δὲ οὕτω
κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσ



ίασιν οἱ ἱερεῖς, τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευ
τέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος,
ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. τοῦ
το δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι
τὴν τῶν ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν,
ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε
καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τε
λειῶσαι τὸν λατρεύοντα, μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ δια
φόροις βαπτισμοῖς, καὶ δικαιώμασι σαρκός, μέχρι καιροῦ
διορθώσεως ἐπικείμενα. Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς
τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκη
νῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ
δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν
ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑρόμενος. εἰ γὰρ τὸ αἷμα
ταύρων, καὶ τράγων, καὶ σποδὸς δαμάλεως, ῥαντίζουσα τοὺς
κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,
πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ. ὃς διὰ πνεύματος αἰωνίου
ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδη
σιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν θεῷ ζῶντι. Καὶ
διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν, ὅπως θανάτου γενο
μένου, εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβά
σεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι, τῆς αἰωνί
ου κληρονομίας. ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι
τοῦ διαθεμένου. διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήπο
τε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος. ὅθεν οὐδ' ἡ πρώτη, χωρὶς
αἵματος ἐγκεκαίνισται. λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νό
μον ὑπὸ μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μό
σχων καὶ τράγων, μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώ
που, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐῤῥάντισε, λέγων.

τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θεός.
καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵ-
ματι ὁμοίως ἐῤῥάντισε. καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρί-
ζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται
ἄφεσις. ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς,
τούτοις καθαρίζεσθαι. αὐτὰ δὲ τὰ ἐπουράνια, κρείττοσι θυσί-
αις παρὰ ταύτας. Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ
Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν,
νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν, οὐδ' ἵνα
πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται
εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. ἐπεὶ ἔδει αὐ-
τὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. νῦν δὲ ἅπαξ
ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς
θυσίας αὐτοῦ πεφανέρωται. καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώ-
ποις ἅπαξ ἀποθανεῖν. μετὰ δὲ τοῦτο κρίσις, οὕτως καὶ Χριστὸς
ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ
δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχο-
X μένοις εἰς σωτηρίαν. Κεφ. ι. Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν
μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων,
κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ
διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶ-
σαι. ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμί-
αν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ
κεκαθαρμένους. ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ'
ἐνιαυτόν. ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁ-
μαρτίας. διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει. Θυσίαν
καὶ προσφορὰν οὐκ ἠθέλησας. σῶμα δὲ κατηρτίσω μοι, ὁλο-
καυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας, τότε εἶπον,
ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆ-



σαι ὁ θεὸς τὸ θέλημά σου, ἀνώτερον λέγων, ὅτι θυσίαν καὶ προσ-
φορὰν, καὶ ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας
οὐδὲ εὐδόκησας, αἵτινες κατὰ τὸν νόμον προσφέρονται, τό-
τε εἴρηκεν, ἰδοὺ ἥκω τοῦ ποιῆσαι ὁ θεὸς τὸ θέλημά σου, ἀναιρεῖ
τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ, ἐν ᾧ θελήματι ἡγιασμένοι
ἐσμὲν, οἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐ-
φάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ
τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε
δύνανται περιελεῖν ἁμαρτίας. αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτι-
ῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ
θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπο-
πόδιον τῶν ποδῶν αὐτοῦ. μιᾷ γὰρ προσφορᾷ τετελείωκεν
εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ
πνεῦμα τὸ ἅγιον. μετὰ γὰρ τὸ προειρηκέναι, αὕτη ἡ διαθήκη, ἣν
διαθήσομαι πρὸς αὐτοὺς, μετὰ τὰς ἡμέρας ἐκείνας λέγει
κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν
διανοιῶν αὐτῶν ἐπιγράψω αὐτοὺς, καὶ τῶν ἁμαρτιῶν, καὶ τῶν
ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. ὅπου δὲ ἄφεσις τούτων, οὐκ
ἔτι προσφορὰ περὶ ἁμαρτίας. Ἔχοντες οὖν ἀδελφοὶ παῤῥησί-
αν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνε-
καίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσ-
ματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ. καὶ ἱερέα μέγαν ἐπὶ τὸν
οἶκον τοῦ θεοῦ. προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πλη-
ροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσε-
ως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα, ὕδατι καθαρῷ, κατέχω-
μεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ. Πιστὸς γὰρ ὁ ἐπαγγει-
λάμενος, καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης,
καὶ καλῶν ἔργων, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυ-
τῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλ-

ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. ἑκουσίως γὰρ ἁμαρτα-
νόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ
ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδο-
χὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναν-
τίους. ἀθετήσας τις νόμον μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ
δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ δοκεῖτε χείρονος
ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ
αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦ-
μα τῆς χάριτος ἐνυβρίσας; οἴδαμεν γὰρ τὸν εἰπόντα, ἐμοὶ ἐκδί-
κησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος. καὶ πάλιν, Κύριος κρινεῖ τὸν
λαὸν αὐτοῦ. φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. Ἀναμι-
μνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν
ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ
θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφο-
μένων γεννηθέντες. καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε,
καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέ-
ξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐ-
ρανοῖς καὶ μένουσαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν
ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. ὑπομονῆς γὰρ ἔχετε χρεί-
αν, ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελί-
αν. ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ὁ
δὲ δίκαιος ἐκ πίστεως ζήσεται, καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ
ἡ ψυχή μου ἐν αὐτῷ. ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώ-
XI λειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς. Κεφ. ια.
Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος
οὐ βλεπομένων, ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι.
Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ
φαινομένων τὰ βλεπόμενα γεγονέναι. πίστει πλείονα θυσίαν ἄ-
βελ παρὰ κάϊν προσήνεγκε τῷ θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι



δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ, καὶ
δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰ-
δεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός.
πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι
τῷ θεῷ. χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. πιστεῦσαι γὰρ
δεῖ τὸν προσερχόμενον τῷ θεῷ, ὅτι ἐστὶ, καὶ τοῖς ἐκζητοῦσιν
αὐτὸν μισθαποδότης γίνεται. πίστει χρηματισθεὶς νῶε περὶ
τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς, κατεσκεύασε κιβωτὸν
εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι' ἧς κατέκρινε τὸν κόσμον,
καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος. πίστει
καλούμενος ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν
ἤμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε, μὴ ἐπιστάμε-
νος ποῦ ἔρχεται. Πίστει παρῴκησεν εἰς γῆν τῆς ἐπαγγελίας
ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ ἰσαὰκ καὶ
ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. ἐξ-
εδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνί-
της καὶ δημιουργὸς ὁ θεός. Πίστει καὶ αὐτὴ σάῤῥα δύνα-
μιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλι-
κίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. διὸ καὶ
ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄ-
στρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖ-
λος τῆς θαλάσσης ἡ ἀναρίθμητος. Κατὰ πίστιν ἀπέθανον οὗ-
τοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας. ἀλλὰ πόῤῥωθεν
αὐτὰς ἰδόντες καὶ πεισθέντες, καὶ ἀσπασάμενοι καὶ ὁμο-
λογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.
οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν, ὅτι πατρίδα ἐπιζη-
τοῦσι. καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον
ἂν καιρὸν ἀνακάμψαι. νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν ἐπου-
ρανίου. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς, θεὸς ἐπικαλεῖσθαι

αὐτῶν, ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. Πίστει προσενήνοχεν ἀβραὰμ τὸν ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν, ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη, ὅτι ἐν ἰσαὰκ κληθήσεταί σοι σπέρμα, λογισάμενος, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεὸς, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. Πίστει περὶ μελλόντων εὐλόγησεν ἰσαὰκ τὸν ἰακὼβ καὶ τὸν ἠσαῦ. Πίστει ἰακὼβ ἀποθνήσκων, ἕκαστον τῶν υἱῶν ἰωσὴφ εὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. Πίστει, ἰωσὴφ τελευτῶν, περὶ τῆς υἱῶν ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. Πίστει, μωϋσῆς γεννηθεὶς, ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ· διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. Πίστει, μωϋσῆς μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς φαραῶ, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. Πίστει κατέλιπεν αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε. Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν. Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ αἰγύπτιοι, κατεπόθησαν. Πίστει τὰ τείχη ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. Πίστει ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης. Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ γεδεὼν, βαρὰκ τε, καὶ σαμψὼν, καὶ ἰεφθάε, δαβίδ τε καὶ σαμουὴλ, καὶ τῶν προφητῶν, οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς,



πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων, ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς, ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

Κεφ. ιβ. Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περι- XII
κείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν, καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ ἐκάθισεν. ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· υἱέ μου μὴ ὀλιγώρει παιδείας κυρίου, μὴ δὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός. τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτο

μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον, ἐπισκοποῦντες, μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θεοῦ, μή τις ῥίζα πικρίας, ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί, μή τις πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. Ἴστε γάρ, ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη. Μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν. οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες, παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον, οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον. κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται, καὶ οὕτως φοβερὸν ἦν τὸ φανταζόμενον. Μωσῆς εἶπεν, ἔκφοβός εἰμι καὶ ἔντρομος, ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας



μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρείττονα λαλοῦντι παρὰ τὸν Ἄβελ. Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται, λέγων· Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δὲ ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας. Καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον.

Κ. ιγ. Ἡ φιλαδελφία μενέτω. XIII

τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε, διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός. ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω, ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν, κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε. καλὸν γάρ, χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν, οἱ τῇ σκηνῇ λατρεύοντες. ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας, εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης

ἔπαθε. τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ θεῷ, τοῦτ' ἔστι καρπὸν χειλέων, ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ θεός. Πείθεσθε δὲ τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες, ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν, πεποίθαμεν γὰρ, ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως. καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς. ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας. Ἡ χάρις μετὰ πάντων ὑμῶν, ἀμήν.

Ἐγράφη ἀπὸ Ἰταλίας διὰ Τιμοθέου.



## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΤΟΥ ΑΓΙΟΥ ΙΑΚΩΒΟΥ.

ΑΥΤΗΝ ἐπιστέλλει τοῖς ἀπὸ τῶν δώδεκα φυλῶν διασπαρεῖσι, καὶ πιστεύσασιν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. γράφει δὲ διδασκαλικὴν τὴν ἐπιστολήν, διδάσκων περὶ διαφορᾶς πειρασμῶν, ποῖος μὲν ἐστὶν ἀπὸ τοῦ θεοῦ, ποῖος δὲ ἀπὸ τῆς ἰδίας καρδίας τῶν ἀνθρώπων ἐστί. καὶ ὅτι οὐ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ δεικνύναι τὴν πίστιν, καὶ οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλ' οἱ ποιηταὶ δικαιοῦνται. περί τε πλουσίων παραγγέλλει, ἵνα μὴ προκρίνωνται τῶν πτωχῶν οἱ πλούσιοι ἐν ταῖς ἐκκλησίαις, ἀλλὰ μᾶλλον καὶ ἐπιπλήττωνται ὡς ὑπερήφανοι. καὶ τέλος παραμυθησάμενος τοὺς ἀδικουμένους, καὶ προτρεψάμενος αὐτοὺς μακροθυμεῖν, ἕως τῆς παρουσίας τοῦ κυρίου. καὶ διδάξας περὶ ὑπομονῆς, ἐκ τοῦ Ἰακὼβ τὸν Χριστὸν τῆς ὑπομονῆς, παραγγέλλει προσκαλεῖσθαι τοὺς πρεσβυτέρους ἐπὶ τοὺς ἀσθενοῦντας, καὶ σπουδάζειν ἐπιστρέφειν τοὺς πλανηθέντας ἐπὶ τὴν ἀλήθειαν, ἐὰν γὰρ τοῦτο, μισθὸν παρὰ τοῦ κυρίου, ἄφεσιν ἁμαρτιῶν, καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙ-ΟΥ ΙΑΚΩΒΟΥ.

Κεφάλαιον πρῶτον.

I Ἰάκωβος θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ δοῦ-
λος, ταῖς δώδεκα φυλαῖς, ταῖς ἐν τῇ
1 διασπορᾷ, χαίρειν. Πᾶσαν χαρὰν ἡγή-
σασθε ἀδελφοί μου, ὅταν πειρασμοῖς πε-
ριπέσητε ποικίλοις, γινώσκοντες, ὅτι τὸ
δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται
ὑπομονήν. ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ
ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. εἰ δέ τις ὑμῶν λείπεται σο-
φίας, αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ
ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. αἰτείτω δὲ ἐν πίστει, μη-
δὲν διακρινόμενος. ὁ γὰρ διακρινόμενος, ἔοικε κλύδωνι θα-
λάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. μὴ γὰρ οἰέσθω ἄνθρωπος
ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ κυρίου. Ἀνὴρ δίψυχος, ἀκα-
τάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. καυχάσθω δὲ ὁ ἀδελφὸς
ὁ ταπεινὸς, ἐν τῷ ὕψει αὐτοῦ. ὁ δὲ πλούσιος, ἐν τῇ ταπεινώ-
σει αὐτοῦ. ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. ἀνέτειλε γὰρ ὁ
ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος
αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο. οὕτω
καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται. μακάρι-
ος ἀνὴρ ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος
λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ κύριος τοῖς
ἀγαπῶσιν αὐτόν. Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ θε-
οῦ πειράζομαι. ὁ γὰρ θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ
αὐτὸς οὐδένα. ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυ-
μίας ἐξελκόμενος καὶ δελεαζόμενος. εἶτα ἡ ἐπιθυμία συλ-



λαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀπο-
κύει θάνατον. μὴ πλανᾶσθε ἀδελφοί μου ἀγαπητοί. πᾶσα δό-
σις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον
ἀπὸ τοῦ πατρὸς τῶν φώτων. παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς
ἀποσκίασμα. βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας,
εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων. Ὥστε ἀδελ-
φοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι,
βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν. ὀργὴ γὰρ ἀνδρὸς,
δικαιοσύνην θεοῦ οὐ κατεργάζεται. διὸ ἀποθέμενοι πᾶσαν
ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμ-
φυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν γίνεσθε
δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ παραλογιζόμενοι ἑαυ-
τούς. ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶ καὶ οὐ ποιητὴς, οὗτος ἔοι-
κεν ἀνδρὶ, κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσό-
πτρῳ. κατενόησε γὰρ ἑαυτὸν καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο
ὁποῖος ἦν. ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερί-
ας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμε-
νος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ
ἔσται. Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν
γλῶσσαν αὐτοῦ, ἀλλὰ ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρη-
σκεία. Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πατρὶ,
αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν,
ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου. Κεφ. β. Ἀδελφοί II
μου μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ τῆς δόξης. Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγω-
γὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ
καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ τὸν φο-
ροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ, σὺ κάθου
ὧδε καλῶς, καὶ τῷ πτωχῷ εἴπητε, σὺ στῆθι ἐκεῖ, ἢ κάθου

οὐχ ὡς ὑπὸ τὸ ὑποπόδιόν μου. καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ
ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν. ἀκούσατε ἀδελφοί μου
ἀγαπητοί. οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου τούτου,
πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας, ἧς ἐπη-
γγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν.
οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑ-
μᾶς εἰς κριτήρια; οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐ-
πικληθὲν ἐφ᾽ ὑμᾶς, εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν
γραφήν, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν, καλῶς ποιεῖ-
τε. εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι
ὑπὸ τοῦ νόμου ὡς παραβάται. ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει,
πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος. ὁ γὰρ εἰπών, μὴ μοι-
χεύσῃς, εἶπε καί, μὴ φονεύσῃς. εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις
δέ, γέγονας παραβάτης νόμου. οὕτως λαλεῖτε, καὶ οὕτως ποι-
εῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι. ἡ γὰρ κρί-
σις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος. καὶ κατακαυχᾶται ἔλεος
κρίσεως. τί τὸ ὄφελος ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν,
ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; ἐὰν δὲ ἀδελ-
φὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ λειπόμενοι ὦσι τῆς ἐφη-
μέρου τροφῆς, εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, ὑπάγετε ἐν εἰρήνῃ,
θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια
τοῦ σώματος, τί τὸ ὄφελος; οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ,
νεκρά ἐστι καθ᾽ ἑαυτήν. ἀλλ᾽ ἐρεῖ τίς, σὺ πίστιν ἔχεις, κἀγὼ ἔρ-
γα ἔχω. δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω
σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. σὺ πιστεύεις, ὅτι ὁ θεὸς εἷς
ἐστι; καλῶς ποιεῖς. καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσου-
σι. θέλεις δὲ γνῶναι ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν
ἔργων νεκρά ἐστιν; ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαι-
ώθη, ἀνενέγκας ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; βλέπεις



ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις
ἐτελειώθη; καὶ ἐπληρώθη ἡ γραφή, ἡ λέγουσα. ἐπίστευσε δὲ ἀβρα-
ὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος θε-
οῦ ἐκλήθη. ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος καὶ
οὐκ ἐκ πίστεως μόνον; Ὁμοίως δὲ καὶ ῥαὰβ ἡ πόρνη, οὐκ ἐξ ἔρ-
γων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ
ἐκβαλοῦσα; ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν,
οὕτως καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι. Κε. γ. Μὴ πολ- III
λοὶ διδάσκαλοι γίνεσθε ἀδελφοί μου, εἰδότες, ὅτι μεῖζον κρί-
μα ληψόμεθα. πολλὰ γὰρ πταίομεν ἅπαντες. εἴ τις ἐν λόγῳ οὐ
πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον
τὸ σῶμα. ἰδοὺ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλο-
μεν. πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα μετάγο-
μεν. ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα, καὶ ὑπὸ σκληρῶν ἀνέ-
μων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου ἂν
ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται. οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος
ἐστί, καὶ μεγαλαυχεῖ. ἰδοὺ ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει. καὶ
ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας, οὕτως ἡ γλῶσσα κα-
θίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλο-
γίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέν-
νης. πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐνα-
λίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ. τὴν δὲ
γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι, ἀκατάσχετον
κακόν, μεστὴ ἰοῦ θανατοφόρου. ἐν αὐτῇ εὐλογοῦμεν τὸν θεὸν καὶ
πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους, τοὺς καθ᾽ ὁ-
μοίωσιν θεοῦ γεγονότας. ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλο-
γία καὶ κατάρα. οὐ χρὴ ἀδελφοί μου ταῦτα οὕτως γίνεσθαι.
Μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν;
Μὴ δύναται ἀδελφοί μου συκῆ ἐλαίας ποιῆσαι; ἢ ἄμπελος

σῦκα; οὕτως οὐδὲ μία πηγὴ ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ.
Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀνα-
στροφῆς τὰ ἔργα αὐτοῦ, ἐν πραΰτητι σοφίας. εἰ δὲ ζῆλον πικρὸν
ἔχετε, καὶ ἐρίθειαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε,
καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄ-
νωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης.
ὅπου γὰρ ζῆλος καὶ ἐρίθεια, ἐκεῖ ἀκαταστασία, καὶ πᾶν φαῦλον
πρᾶγμα. ἡ δὲ ἄνωθεν σοφία, πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα
εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγα-
θῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος, καρπὸς δὲ τῆς δικαιοσύ-
νης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην. Κεφ. δ.
IIII Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδο-
νῶν ὑμῶν, τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; ἐπιθυμεῖ-
τε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυ-
χεῖν· μάχεσθε καὶ πολεμεῖτε, οὐκ ἔχετε, διὰ τὸ μὴ αἰτεῖσθαι
ὑμᾶς. αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα
ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. μοιχοὶ καὶ μοιχαλίδες,
οὐκ οἴδατε, ὅτι ἡ φιλία τοῦ κόσμου, ἔχθρα τοῦ θεοῦ ἐστιν; ὃς
ἂν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ θεοῦ καθίστα-
ται. ἢ δοκεῖτε, ὅτι κενῶς ἡ γραφὴ λέγει· πρὸς φθόνον ἐπιπο-
θεῖ τὸ πνεῦμα, ὃ κατῴκησεν ἐν ὑμῖν. μείζονα δὲ δίδωσι χά-
ριν. Ὑποτάγητε οὖν τῷ θεῷ, ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύ-
ξεται ἀφ' ὑμῶν. ἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. καθαρί-
σατε χεῖρας ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας δίψυχοι. τα-
λαιπωρήσατε καὶ πενθήσατε, καὶ κλαύσατε. ὁ γέλως ὑμῶν
εἰς πένθος μεταστραφήτω, καὶ ἡ χαρὰ εἰς κατήφειαν. ταπει-
νώθητε ἐνώπιον τοῦ κυρίου, καὶ ὑψώσει ὑμᾶς. μὴ καταλαλεῖτε
ἀλλήλων ἀδελφοί. ὁ καταλαλῶν ἀδελφοῦ, καὶ κρίνων τὸν
ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον. εἰ δὲ



νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής. εἷς ἐστιν
ὁ νομοθέτης, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι. σὺ τίς εἶ,
ὃς κρίνεις τὸν ἕτερον; ἄγε νῦν οἱ λέγοντες, σήμερον καὶ αὔριον
πορευσώμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυ-
τὸν ἕνα, καὶ ἐμπορευσώμεθα, καὶ κερδήσωμεν. οἵτινες οὐκ ἐπί-
στασθε τὸ τῆς αὔριον. ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γὰρ ἔσται ἡ πρὸς
ὀλίγον φαινομένη, ἔπειτα δὲ ἀφανιζομένη, ἀντὶ τοῦ λέγειν ὑμᾶς·
ἐὰν ὁ κύριος θελήσῃ, καὶ ζήσωμεν, καὶ ποιήσωμεν τοῦτο ἢ ἐ-
κεῖνο, νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν. πᾶσα
καύχησις τοιαύτη πονηρά ἐστιν. εἰδότι οὖν καλὸν ποιεῖν, καὶ
μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν. Κεφ. ε. Ἄγε νῦν οἱ V
πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑ-
μῶν ταῖς ἐπερχομέναις. ὁ πλοῦτος ὑμῶν σέσηπε, τὰ ἱμάτια
ὑμῶν σητόβρωτα γέγονεν. ὁ χρυσὸς ὑμῶν, καὶ ὁ ἄργυρος κα-
τίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ φάγεται
τὰς σάρκας ὑμῶν, ὡς πῦρ. Ἐθησαυρίσατε ἐν ἐσχάταις ἡ-
μέραις. ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας
ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράζει. καὶ αἱ βοαὶ τῶν θερισάν-
των εἰς τὰ ὦτα κυρίου σαβαὼθ εἰσεληλύθασιν. ἐτρυφήσατε ἐ-
πὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε. ἐθρέψατε τὰς καρδίας ὑμῶν.
ὡς ἐν ἡμέρᾳ σφαγῆς. κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαι-
ον. οὐκ ἀντιτάσσεται ὑμῖν. Μακροθυμήσατε οὖν ἀδελφοὶ ἕ-
ως τῆς παρουσίας τοῦ κυρίου. ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμι-
ον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ, ἕως λάβῃ ὑετὸν
πρώϊμον καὶ ὄψιμον. μακροθυμήσατε καὶ ὑμεῖς, στηρίξατε τὰς
καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ κυρίου ἤγγικε. μὴ στενάζετε
κατ' ἀλλήλων ἀδελφοί, ἵνα μὴ κατακριθῆτε, ἰδοὺ ὁ κριτὴς πρὸ
τῶν θυρῶν ἕστηκεν. ὑπόδειγμα λάβετε τῆς κακοπαθείας ἀ-
δελφοί μου, καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλη-

λήσαντα τῷ ὀνόματι κυρίου. ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας. τὴν ὑπομονὴν ἰὼβ ἠκούσατε. καὶ τὸ τέλος κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ κύριος καὶ οἰκτίρμων. πρὸ πάντων δὲ ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον, ἤτω δὲ ὑμῶν τὸ ναί, ναί. καὶ τὸ οὔ, οὔ. ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. κακοπαθεῖ τίς ἐν ὑμῖν; προσευχέσθω. εὐθυμεῖ τίς; ψαλλέτω, ἀσθενεῖ τίς ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ κυρίου. καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος, κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς, ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. ἀδελφοί, ἐάν τίς ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ αὐτόν τις, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν. Τέλος.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ.

Αὕτην ἐπιστέλλει ὁ μακάριος πέτρος τοῖς ἐν τῇ διασπορᾷ οὖσιν, ἰουδαίοις καὶ γενομένοις χριστιανοῖς. τ
Γράφει δὲ τὴν ἐπιστολὴν διδασκαλικὴν, ἐπιστηρίζων αὐτούς. διότι καὶ ἀπὸ ἰουδαίων ἐπίστευσαν. καὶ πρῶτον μὲν ἐξηγεῖται καὶ ἀποδείκνυσιν, ὅτι εἰς τὸν Χριστὸν πίστις, ἀπὸ τῶν προφητῶν κατηγ-



γέλθη, καὶ διὰ αὐτῶν ἐμηνύθη, ἡ διὰ αἵματος αὐτοῦ λύτρωσις, καὶ ὅτι αὐτοῖς καὶ τοῖς ἔθνεσιν εὐηγγελίσθη τὰ πάντα, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι, εἶτα συμβουλεύσας ἀξίως τοῦ καλέσαντος ἀναστρέφεσθαι, προτρέπει καὶ βασιλέας τιμᾶν. γυναιξί τε γὰρ καὶ ἀνδράσιν ὁμοφροσύνην καταγγέλλει, καὶ εἰς τὰ ἤδη παραινέσας ὀλίγα, σημαίνει, ὅτι καὶ εἰς τὸν ἅδην γέγονε παρὰ τοῦ κυρίου τὸ κήρυγμα τῆς σωτηρίας καὶ ἀναστάσεως. ἵνα καὶ οἱ προθανόντες ἀναστῶσι, καὶ κρίνωσι μὲν τῷ σώματι, τῇ δὲ χάριτι τῆς ἀναστάσεως διαμείνωσι, καὶ ὅτι τὸ τέλος πάντων λοιπὸν ἤγγικε καὶ ὀφείλουσι πάντες ἕτοιμοι γίνεσθαι, ὡς λόγον ἀποδώσοντες τῷ κριτῇ. καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

## ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ ΠΡΩΤΗ.

Κεφάλαιον πρῶτον.

ΠΕΤΡΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκ I
λεκτοῖς παρεπιδήμοις, διασπορᾶς πόν
π του, γαλατίας, καππαδοκίας, ἀσίας καὶ
βιθυνίας, κατὰ πρόγνωσιν θεοῦ πατρὸς ἐν
ἁγιασμῷ πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαν
τισμὸν αἵματος Ἰησοῦ Χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη. Εὐλογητὸς ὁ θεὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν διὰ ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον, καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς, εἰς ὑμᾶς τοὺς ἐν δυνάμει θεοῦ φρουρουμένους διὰ πίστεως, εἰς σωτηρίαν, ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτ-

τῷ, ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως, πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν καὶ τιμὴν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν. περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται, οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα, ἢ ποῖον καιρὸν ἐδήλου, τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ, προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα, καὶ τὰς μετὰ ταῦτα δόξας, οἷς ἀπεκαλύφθη, ὅτι οὐχ ἑαυτοῖς ἡμῖν δὲ διηκόνουν αὐτὰ, ἃ νῦν ἀνηγγέλη ὑμῖν, διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε, διότι γέγραπται· ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι. Καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε. εἰδότες, ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων δι' ὑμᾶς, τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς θεὸν, τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε



τὴν πίστιν ὑμῶν, καὶ ἐλπίδα εἶναι εἰς θεόν. τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς, ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου ζῶντος θεοῦ, καὶ μένοντος εἰς τὸν αἰῶνα, διότι πᾶσα σὰρξ, ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα. τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

Κεφαλ. β. Ἀποθέμενοι οὖν πᾶσαν κακίαν, καὶ πάντα δό- II
λον, καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας καταλαλιὰς, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε, εἴπερ ἐγεύσασθε, ὅτι χρηστὸς ὁ κύριος. πρὸς ὃν προσερχόμενοι λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ θεῷ ἐκλεκτὸν, ἔντιμον, καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ. διὸ καὶ περιέχει ἐν τῇ γραφῇ. ἰδοὺ τίθημι ἐν σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον. καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ. ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν. ἀπειθοῦσι δὲ λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου, οἳ προσκόπτουσι τῷ λόγῳ, ἀπειθοῦντες εἰς ὃ καὶ ἐτέθησαν. ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. οἵ ποτε οὐ λαὸς, νῦν δὲ λαὸς θεοῦ. οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες. ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες

στρατεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες
καλὴν ἐν τοῖς ἔθνεσιν, ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακο
ποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύοντες, δοξάσωσι τὸν θεὸν
ἐν ἡμέρᾳ ἐπισκοπῆς. Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει
διὰ τὸν κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, ὡς
δι' αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαι
νον δὲ ἀγαθοποιῶν, ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ, ἀγαθο
ποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν, ὡς
ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν
ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι θεοῦ. πάντας τιμήσατε, τὴν ἀδελ
φότητα ἀγαπᾶτε, τὸν θεὸν φοβεῖσθε, τὸν βασιλέα τιμᾶτε. οἱ οἰ
κέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μό
νον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. τοῦτο
γὰρ χάρις, εἰ διὰ συνείδησιν θεοῦ ὑποφέρει τις λύπας πά
σχων ἀδίκως. ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολα
φιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες, καὶ πάσχοντες
ὑπομενεῖτε. Τοῦτο γὰρ χάρις παρὰ θεῷ. εἰς τοῦτο γὰρ ἐκλήθη
τε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑ
πογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ, ὃς ἁ
μαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐ
τοῦ, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπεί
λει. παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. ὃς τὰς ἁμαρτίας ἡ
μῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα
ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν, οὗ
τῷ μώλωπι αὐτοῦ ἰάθητε. ἦτε γὰρ ὡς πρόβατα πλανώμενα,
ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα, καὶ ἐπίσκοπον τῶν
ψυχῶν ὑμῶν. Κεφ. γ. Ὁμοίως αἱ γυναῖκες ὑποτασ
III σόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ
λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδη
θήσωνται



θήσωνται, ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑ
μῶν, ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως
χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος, ἀλλ' ὁ κρυπτὸς τῆς
καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ, τοῦ πρᾳέος καὶ ἡσυχίου
πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές. οὕτω γάρ ποτε
καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι ἐπὶ τὸν θεὸν, ἐκόσμουν
ἑαυτὰς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ὡς Σάῤῥα ὑ
πήκουσε τῷ Ἀβραὰμ, κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέ
κνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.
Οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεσ
τέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκλη
ρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς
ὑμῶν. τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελ
φοι, εὔσπλαγχνοι, φιλόφρονες, μὴ ἀποδιδόντες κακὸν ἀντὶ
κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦν
τες, εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομή
σητε. ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυ
σάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆ
σαι δόλον, ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθὸν, ζη
τησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. Ὅτι οἱ ὀφθαλμοὶ κυρίου
ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ κυ
ρίου ἐπὶ ποιοῦντας κακά. καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγα
θοῦ μιμηταὶ γένησθε; ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην,
μακάριοι. Τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε, κύ
ριον δὲ τὸν θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν. Ἕτοιμοι δὲ ἀεὶ
πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑ
μῖν ἐλπίδος μετὰ πρᾳότητος καὶ φόβου, συνείδησιν ἔχοντες
ἀγαθὴν, ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν, ὡς κακοποιῶν, καται
σχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστρο

φῶν. κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλει τὸ θέλημα τοῦ θεοῦ, πά-
σχειν, ἢ κακοποιοῦντας. ὅτι καὶ χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτιῶν
ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ θεῷ,
θανατωθεὶς μὲν σαρκί. ζωοποιηθεὶς δὲ τῷ πνεύματι, ἐν ᾧ καὶ
τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς, ἐκήρυξεν, ἀπειθήσασί πο-
τε. ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ θεοῦ μακροθυμία, ἐν ἡμέραις νῶε
κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι, τουτέστιν, ὀκτὼ ψυ-
χαὶ διεσώθησαν δι᾽ ὕδατος, ὃ ἀντίτυπον νῦν καὶ ἡμᾶς σώζει
βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀ-
γαθῆς ἐπερώτημα εἰς θεὸν, δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ, ὅς
ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ, πορευθεὶς εἰς οὐρανὸν, ὑποταγέντων αὐ-
IIII τῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων. Κεφ. δ. Χριστοῦ
οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοι-
αν ὁπλίσασθε, ὅτι ὁ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας,
εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι θεοῦ, τὸν
ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. ἀρκετὸς γὰρ ἡμῖν ὁ παρελη-
λυθὼς χρόνος τοῦ βίου, θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πο-
ρευομένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις
πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις. ἐν ᾧ ξενίζονται, μὴ συντρε-
χόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφη-
μοῦντες, οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶν-
τας καὶ νεκρούς, εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι
μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ θεὸν πνεύματι. πάν-
των δὲ τὸ τέλος ἤγγικε. σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς
προσευχάς. πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔ-
χοντες. ὅτι ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν. φιλόξενοι εἰς
ἀλλήλους ἄνευ γογγυσμῶν. ἕκαστος καθὼς ἔλαβε χάρισμα,
εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικί-
λης χάριτος θεοῦ. εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ. εἴ τις διακο-



νεῖ, ὡς ἐξ ἰσχύος, ἧς χορηγεῖ ὁ θεὸς, ἵνα ἐν πᾶσι δοξάζηται
ὁ θεὸς διὰ τοῦ Ἰησοῦ χριστοῦ, ᾧ ἐστιν ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς
αἰῶνας τῶν αἰώνων, ἀμήν. Ἀγαπητοὶ, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυ-
ρώσει, πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαί-
νοντος, ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς χριστοῦ παθήμασι, χαίρετε,
ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμε-
νοι. εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δό-
ξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ᾽ ὑμᾶς ἀναπαύεται. κατὰ μὲν αὐτοὺς βλα-
σφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται. Μὴ γάρ τις ὑμῶν πα-
σχέτω ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοε-
πίσκοπος. εἰ δὲ ὡς χριστιανὸς, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ
τὸν θεὸν ἐν τῷ μέρει τούτῳ. Ὅτι καὶ ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρί-
μα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ. εἰ δὲ πρῶτον ἀφ᾽ ἡμῶν, τί τὸ τέλος τῶν ἀπει-
θούντων τῷ τοῦ θεοῦ εὐαγγελίῳ; καὶ εἰ ὁ δίκαιος μόλις σώζεται,
ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; ὥστε καὶ οἱ πάσχοντες
κατὰ τὸ θέλημα τοῦ θεοῦ, ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυ-
χὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ. Κε. ε. Πρεσβυτέρους τοὺς ὑμῖν V
παρακαλῶ, ὁ συμπρεσβύτερος, καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθη-
μάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνὸς,
ποιμάνατε τὸ ἐν ὑμῖν, ποίμνιον τοῦ Χριστοῦ. ἐπισκοποῦντες μὴ
ἀναγκαστῶς, ἀλλ᾽ ἑκουσίως, μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύ-
μως μηδ᾽ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι
τοῦ ποιμνίου. καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμα-
ράντινον τῆς δόξης στέφανον. ὁμοίως νεώτεροι ὑποτάγητε πρε-
σβυτέροις, πάντες ἀλλήλοις ὑποτασσόμενοι. τὴν ταπεινοφρο-
σύνην ἐγκομβώσασθε. ὅτι ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται.
ταπεινοῖς δὲ δίδωσι χάριν. Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν
χεῖρα τοῦ θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ, πᾶσαν τὴν μέριμναν
ὑμῶν ἐπιρρίψαντες ἐπ᾽ αὐτὸν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν.

νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ, ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰδότες, τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. ὁ δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς στηρίξαι, σθενώσαι, θεμελιώσαι, αὐτῷ ἡ δόξα, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Διὰ σιλουανοῦ ὑμῖν πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι. δι' ὀλίγων ἔγραψα. παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ θεοῦ, εἰς ἣν ἑστήκατε. Ἀσπάζεται ὑμᾶς ἡ ἐν βαβυλῶνι συνεκλεκτή, καὶ μάρκος ὁ υἱός μου. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ. ἀμήν.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ.

τ Αὐτὴν πάλιν ὁ αὐτὸς πέτρος ἐπιστέλλει τοῖς ἤδη πιστεύσασιν. ἔστι δὲ ἡ ἐπιστολὴ ὑπόμνησις τῶν πρώτων. εἰδὼς γὰρ τὴν ταχεῖαν ἑαυτοῦ ἔσεσθαι τὴν ἀνάλυσιν τοῦ σώματος, ἐσπούδασε πάντας ὑπομνῆσαι περὶ ὧν κατηχήθησαν, τὴν διδασκαλίαν, καὶ πρῶτον δείκνυσιν ἀπὸ τῶν προφητῶν αὐτὴν εὐαγγελισθεῖσαν. καὶ ὅτι αἱ προφητεῖαι αἱ περὶ τοῦ σωτῆρος, οὐκ εἰσὶν ἀνθρώπιναι, ἀλλὰ παρὰ θεοῦ ἐλαλήθησαν. ἔπειτα παραγγέλλει μὴ προσέχειν τοῖς ἀπατῶσι, λέγων ἔσεσθαι αὐτῶν ἀπώλειαν, ὥσπερ καὶ τῶν παραβάντων ἀγγέλων γέγονε. προμηνύει δὲ ἐν τῇ ἐπιστολῇ ἡμέρας ἔσεσθαι ἐν αἷς ἐμπαῖκται περιπατήσουσι, καὶ θελήσουσιν ἀπατᾶν τινάς, λέγοντες, μάτην λέγεσθαι παρ' ὑμῶν τὴν παρουσίαν τοῦ σωτῆρος, διὰ τὸ ἀεὶ λέγεσθαι, καὶ μήπω παραγενέσθαι. ἀπὸ τούτων οὖν καὶ μάλιστα ἀπέχεσθαι παραγγέλλει,



διδάσκων μὴ ὀλιγωρεῖν ἐν τοῖς χρόνοις, πάντα γὰρ τὸν χρόνον, μηδὲν εἶναι ἐνώπιον κυρίου, διὰ τὸ καὶ τὴν μίαν ἡμέραν ὡς χίλια ἔτη εἶναι, καὶ τὰ χίλια ἔτη, ὡς ἡμέραν μίαν. ἔσεσθαι δὲ ταχέως τὴν ἡμέραν κυρίου διαβεβαιοῦται καὶ ἀποδείκνυσι, καὶ ἐντέλλεται ἑτοίμους εἶναι πάντας εἰς αὐτὴν ἐν ἔργοις ἀγαθοῖς. καὶ ἀγαπᾶν τὰ ὑπὸ τοῦ ἀποστόλου παύλου γραφέντα, καὶ μὴ προσέχειν τοῖς διαβάλλουσιν αὐτά. διὰ δὲ καὶ πάσας τὰς θείας γραφάς, διαβάλλειν αὐτούς. ὑπομνήσας οὖν καὶ διδάξας πάντας προειδέναι τὰ πράγματα, παραινεῖ μὴ ἐκπίπτειν τοῦ σκοποῦ τῆς πίστεως, καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

## ΠΕΤΡΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

### Κεφάλαιον πρῶτον.

Υμεὼν Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ I
Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν
σ δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν, καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ θεοῦ, καὶ Ἰησοῦ τοῦ κυρίου ἡμῶν, ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ, τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς, καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσε-

βείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ, τὴν ἀγάπην. Ταῦ-
τα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρ-
πους καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν.
ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν
τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. Διὸ μᾶλλον ἀδελφοὶ
σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι.
ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε, οὕτως γὰρ πλουσί-
ως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασι-
λείαν τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμε-
λήσω, ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδό-
τας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. δίκαιον
δὲ ἡγοῦμαι ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν
ὑμᾶς ἐν ὑπομνήσει. εἰδὼς, ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ
σκηνώματός μου, καθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐ-
δήλωσέ μοι. σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν
ἐμὴν ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι. οὐ γὰρ σεσοφισμένοις
μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυρίου ἡ-
μῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενη-
θέντες τῆς ἐκείνου μεγαλειότητος. λαβὼν γὰρ παρὰ θεοῦ πα-
τρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ
τῆς μεγαλοπρεποῦς δόξης, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς
εἰς ὃν ἐγὼ εὐδόκησα. Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσα-
μεν, ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ
ἁγίῳ. καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον. ᾧ καλῶς
ποιεῖτε. προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τό-
πῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς
καρδίαις ὑμῶν. Τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφη-
τεία γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται. οὐ θελήματι ἀνθρώ-
που ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ πνεύματος ἁγίου φε-
ρόμενοι, ἐλάλησαν οἱ ἅγιοι θεοῦ ἄνθρωποι. Κεφ. β. II
Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν
ἔσονται ψευδοδιδάσκαλοι. οἵτινες παρεισάξουσιν αἱρέσεις
ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐ-
πάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν, καὶ πολλοὶ ἐξακολουθήσου-
σιν αὐτῶν ταῖς ἀπωλείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλα-
σφημηθήσεται, καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπο-
ρεύσονται, οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια
αὐτῶν οὐ νυστάζει. Εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφεί-
σατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν εἰς κρί-
σιν τετηρημένους, καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλ' ὄγδο-
ον νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀ-
σεβῶν ἐπάξας, καὶ πόλεις Σοδόμων καὶ Γομόῤῥας τεφρώσας κα-
ταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς.
καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελ-
γείᾳ ἀναστροφῆς, ἐῤῥύσατο. βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος
ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνό-
μοις ἔργοις ἐβασάνιζεν. Οἶδε κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ
ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν, μά-
λιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομέ-
νους, καὶ κυριότητος καταφρονοῦντας, τολμηταὶ, αὐθάδεις, δό-
ξας οὐ τρέμουσι βλασφημοῦντες. ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνά-
μει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ κυρίῳ βλάσφη-
μον κρίσιν. οὗτοι δὲ ὡς ἄλογα ζῶα φυσικὰ γεγεννημένα εἰς ἅ-
λωσιν καὶ φθορὰν, ἐν οἷς ἀγνοοῦσι βλασφημοῦντες ἐν τῇ φθο-
ρᾷ αὐτῶν καταφθαρήσονται, κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν
ἡγούμενοι, τὴν ἐν ἡμέρᾳ τρυφὴν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες
ἐν ταῖς ἀπάταις αὐτῶν, συνευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς ἔ-
χοντες μεστοὺς μοιχαλίδος, καὶ ἀκαταπαύστους ἁμαρτίας, δε-

δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες, κατάρας τέκνα, καταλιπόντες τὴν εὐθεῖαν ὁδὸν, ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν, ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας. ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν. οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι, δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελγείαις, τοὺς ὄντως ἀποφυγόντας, τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς. ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου, ἐν ἐπιγνώσει τοῦ κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. κρεῖττον γὰρ ἦν αὐτοῖς, μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν, ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

III Κεφ. γ. Ταύτην ἤδη ἀγαπητοὶ δευτέραν ὑμῖν γράφω ἐπιστολὴν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς, τοῦ κυρίου καὶ σωτῆρος, τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτου τῶν ἡμερῶν, ἐμπαῖκται κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι, καὶ λέγοντες. ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτως διαμένει ἀπ' ἀρχῆς κτίσεως. λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι, καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος συνεστῶσα,



τῷ τοῦ θεοῦ λόγῳ, δι' ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο. οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ αὐτῷ λόγῳ τεθησαυρισμένοι εἰσὶ, πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων. ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς ἀγαπητοὶ, ὅτι μία ἡμέρα παρὰ κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. οὐ βραδύνει ὁ κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδύτητα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. ἥξει δὲ ἡ ἡμέρα κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται. Τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, προσδοκοῦντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται. Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ. Διὸ ἀγαπητοὶ ταῦτα προσδοκῶντες, σπουδάσατε ἄσπιλοι, καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ. καὶ τὴν τοῦ κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε, καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς παῦλος κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς, περὶ τούτων, ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. Ὑμεῖς οὖν ἀγαπητοὶ προγινώσκοντες, φυλάσσεσθε, ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ, αὐξάνετε δὲ χάριτι, καὶ γνώσει τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. Αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. Ἀμήν.

Τέλος.

# ΕΠΙΣΤΟΛΗ

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΩΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου.

Αὐτὴν αὐτὸς ὁ Ἰωάννης, ὁ τὸ εὐαγγέλιον γράψας,
τ ἐπιστέλλει, ὑπομιμνήσκων τοὺς ἤδη πιστεύσαντας εἰς τὸν κύριον. καὶ πρῶτον μὲν ὥσπερ ἐν τῷ εὐαγγελίῳ, οὕτω καὶ ἐν ταύτῃ τῇ ἐπιστολῇ θεολογεῖ περὶ τοῦ λόγου, ἀποδεικνὺς αὐτὸν εἶναι ἀεὶ ἐν τῷ θεῷ, καὶ διδάσκων τὸν πατέρα φῶς εἶναι, ἵνα καὶ οὕτω γνῶμεν τὸν λόγον, ὡς ἀπαύγασμα ἐξ αὐτοῦ εἶναι. Θεολογῶν δὲ, ἐξηγεῖται μὴ νεώτερον εἶναι τὸ καθ' ὑμᾶς μυστήριον, ἀλλ' ἐξ ἀρχῆς μὲν καὶ ἀεὶ τυγχάνει αὐτὸ, νῦν δὲ πεφανερῶσθαι ἐν τῷ κυρίῳ, ὅστις ἐστὶ ζωὴ αἰώνιος, καὶ θεὸς ἀληθινός. καὶ τὸ αἴτιον δὲ τῆς τούτου παρουσίας, καὶ ἐπιφανείας αὐτοῦ τίθησι, λέγων εἶναι τοῦτο, ἐπὶ τὸ λῦσαι τὰ ἔργα τοῦ διαβόλου, καὶ ὑμᾶς ἐλευθερωθῆναι ἀπὸ τοῦ θανάτου, καὶ γινώσκειν ἡμᾶς τὸν πατέρα, καὶ αὐτὸν τὸν υἱὸν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει δὲ ὥσπερ πρὸς πᾶσαν ἡλικίαν, πρὸς παιδία, πρὸς νεανίσκους, πρὸς γέροντας, ὅτι ὁ μὲν θεὸς ἐγνώσθη, ἡ δὲ διαβολικὴ ἐνέργεια λοιπὸν νενίκηται καταργηθέντος τοῦ θανάτου. Εἶτα λοιπὸν διὰ ὅλης τῆς ἐπιστολῆς περὶ ἀγάπης διδάσκει, θέλων ἡμᾶς ἀλλήλους ἀγαπᾶν, ἐπειδὴ καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. ἐξηγεῖται δὲ ὥσπερ περὶ διαφορᾶς φόβου καὶ ἀγάπης, καὶ τέκνων θεοῦ καὶ τέκνων διαβόλου, καὶ περὶ ἁμαρτίας θανατικῆς καὶ μὴ θανατικῆς, καὶ περὶ διαφορᾶς πνευμάτων. καὶ λοιπὸν διαιρεῖ, ποῖον μὲν πνεῦμα ἐκ τοῦ θεοῦ ἐστι, ποῖον δὲ τῆς πλάνης. Καὶ πότε μὲν γινωσκόμεθα τέκνα θεοῦ, πότε δὲ διαβόλου. Καὶ περὶ ποίας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι ὑπὲρ τῶν ἁμαρτανόντων, καὶ περὶ ποίας οὐ δεῖ εὔχεσθαι. καὶ



ὅτι ὁ μὴ ἀγαπῶν τὸν πλησίον, οὐκ ἔστιν ἄξιος τῆς κλήσεως, οὐ δὲ δύναται λέγεσθαι τοῦ Χριστοῦ. καὶ τὴν ἑνότητα δὲ τοῦ υἱοῦ πρὸς τὸν πατέρα δείκνυσι καὶ ὅτι ὁ ἀρνούμενος τὸν υἱὸν, οὐ δὲ τὸν πατέρα ἔχει. διακρίνει δὲ ἐν τῇ ἐπιστολῇ ταύτῃ, λέγων, καὶ τὸ ἴδιον τοῦ ἀντιχρίστου, εἶναι δὲ τοῦτο τὸ λέγειν, μὴ εἶναι τὸν υἱὸν αὐτὸν τὸν Χριστὸν, ἵνα δηλοῖ ὡς μὴ ὄντως ἐκείνου, ἑαυτὸν εἴπῃ εἶναι ὁ ψεύστης. παραινεῖ δὲ διὰ ὅλης ἐπιστολῆς, μὴ ἀθυμεῖν τοὺς πιστεύοντας τῷ κυρίῳ, εἰ μισοῦνται ἐν τῷ κόσμῳ, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι τὸ μῖσος τοῦ κόσμου, δείκνυσι τοὺς πιστεύοντας μεταβεβηκέναι ἀπ' αὐτοῦ τοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς οὐρανίου πολιτείας. καὶ ἐν τῷ τέλει δὲ τῆς ἐπιστολῆς πάλιν ὑπομιμνήσκει λέγων, ὅτι ὁ τοῦ θεοῦ υἱὸς, ζωὴ αἰώνιός ἐστι, καὶ φῶς ἀληθινὸν, καὶ ἵνα τούτῳ δουλεύωμεν, καὶ φυλάττωμεν ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.

# ΙΩΑΝΝΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

### Κεφάλαιον πρῶτον.

ΗΝ ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν I
τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ
χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς
ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ
μαρτυροῦμεν, καὶ καταγγέλλομεν ὑμῖν τὴν ζω-
ὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν.
ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑ-
μεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν. καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέ-
ρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. καὶ ταῦ-
τα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. καὶ ἔστιν
αὕτη ἡ ἐπαγγελία, ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν

ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδὲ μία.
ἐὰν εἴπωμεν, ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει
περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν. ἐὰν δὲ
ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνί
αν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ κα
θαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν
οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. ἐὰν
ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα
ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδι
κίας. ἐὰν εἴπωμεν, ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν
II αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν. Κε. β. Τεκνία μου ταῦ
τα γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε, καὶ ἐάν τις ἁμάρτῃ, παράκλη
τον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον. Καὶ αὐτὸς
ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον
ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐ
γνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Ὁ λέγων, ἔγνω
κα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστί, καὶ ἐν τού
τῳ ἡ ἀλήθεια οὐκ ἔστιν. ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν
τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν
αὐτῷ ἐσμέν. ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει καθὼς ἐκεῖνος
περιεπάτησε, καὶ αὐτὸς οὕτω περιπατεῖν. Ἀδελφοὶ οὐκ ἐντολὴν
καινὴν γράφω ὑμῖν, ἀλλὰ ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρ
χῆς. ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος. ὃν ἠκούσατε ἀπ' ἀρχῆς.
πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ
ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαί
νει. ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν
τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ
φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν. ὁ δὲ μισῶν
τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ



περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε
τοὺς ὀφθαλμοὺς αὐτοῦ. Γράφω ὑμῖν τεκνία, ὅτι ἀφέωνται ὑ
μῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. γράφω ὑμῖν πατέρες, ὅτι
ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. γράφω ὑμῖν νεανίσκοι, ὅτι νενικήκα
τε τὸν πονηρόν. γράφω ὑμῖν παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα.
ἔγραψα ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. ἔγραψα ὑ
μῖν νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος τοῦ θεοῦ ἐν ὑμῖν μέ
νει, καὶ νενικήκατε τὸν πονηρόν. μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ
τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγά
πη τοῦ πατρὸς ἐν αὐτῷ. ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία
τῆς σαρκὸς, καὶ ἐπιθυμία τῶν ὀφθαλμῶν. καὶ ἡ ἀλαζονεία τοῦ
βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί. καὶ ὁ κόσμος
παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ. ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ
θεοῦ, μένει εἰς τὸν αἰῶνα. παιδία ἐσχάτη ὥρα ἐστί, καὶ καθὼς
ἠκούσατε, ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολ
λοὶ γεγόνασιν. ὅθεν γινώσκομεν, ὅτι ἐσχάτη ὥρα ἐστίν. ἐξ ἡμῶν
ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκει
σαν ἂν μεθ' ἡμῶν. ἀλλ' ἵνα φανερωθῶσιν, ὅτι οὐκ εἰσὶ πάντες
ἐξ ἡμῶν. καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε πάν
τα, οὐκ ἔγραψα ὑμῖν, ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴ
δατε αὐτήν. καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι.
τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ
Χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος. ὁ ἀρνούμενος τὸν πατέρα
καὶ τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔ
χει, ὑμεῖς οὖν ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω. ἐὰν ἐν
ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ, καὶ
ἐν τῷ πατρὶ μενεῖτε, καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία, ἣν αὐτὸς ἐπηγ
γείλατο ἡμῖν, τὴν ζωὴν αἰώνιον. Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν
πλανώντων ὑμᾶς. καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ,

ἐν ὑμῖν μένει, καὶ οὐ χρείαν ἔχετε, ἵνα τὶς διδάσκῃ ὑμᾶς·
ἀλλ᾽ ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀλη
θές ἐστι, καὶ οὐκ ἔστι ψεῦδος· καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, με
νεῖτε ἐν αὐτῷ. καὶ νῦν τεκνία μένετε ἐν αὐτῷ, ἵνα ὅταν φανε
ρωθῇ, ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ ἐν τῇ
παρουσίᾳ αὐτοῦ, ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστι, γινώσκετε, ὅτι
πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην, ἐξ αὐτοῦ γεγέννηται. Κεφ. γ.
III Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ, ἵνα τέκνα
θεοῦ κληθῶμεν, διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ὑμᾶς, ὅτι οὐκ
ἔγνω αὐτόν. Ἀγαπητοὶ, νῦν τέκνα θεοῦ ἐσμὲν, καὶ οὔπω ἐφανερώ
θη, τί ἐσόμεθα. οἴδαμεν δὲ, ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐ
σόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι, καὶ πᾶς ὁ ἔχων τὴν ἐλπί
δα ταύτην ἐπ᾽ αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστι.
πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἁμαρτία
ἐστὶν ἡ ἀνομία. καὶ οἴδατε, ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρ
τίας ἡμῶν ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. πᾶς ὁ ἐν αὐτῷ
μένων οὐχ ἁμαρτάνει, πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν,
οὐδὲ ἔγνωκεν αὐτόν. τεκνία, μηδεὶς πλανάτω ὑμᾶς. ὁ ποιῶν
τὴν δικαιοσύνην, δίκαιός ἐστι, καθὼς ἐκεῖνος ἐστιν. ὁ ποιῶν
τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστὶν, ὅτι ἀπ᾽ ἀρχῆς ὁ διάβολος
ἁμαρτάνει. εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ
ἔργα τοῦ διαβόλου. Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ, ἁμαρτί
αν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται
ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται. ἐν τούτῳ φανερά ἐστι
τὰ τέκνα τοῦ θεοῦ, καὶ τὰ τέκνα τοῦ διαβόλου. πᾶς ὁ μὴ ποι
ῶν δικαιοσύνην, οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελ
φὸν αὐτοῦ. ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία, ἣν ἠκούσατε ἀπ᾽ ἀρχῆς,
ἵνα ἀγαπῶμεν ἀλλήλους. οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν,
καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ. καὶ χάριν τίνος ἔσφαξεν αὐτόν;



ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.
μὴ θαυμάζετε ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. ἡμεῖς οἴ
δαμεν, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν, ὅτι ἀ
γαπῶμεν τοὺς ἀδελφούς. ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν, μένει ἐν
τῷ θανάτῳ. πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος
ἐστί, καὶ οἴδατε, ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνι
ον ἐν αὐτῷ μένουσαν. ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι
ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε, καὶ ἡμεῖς ὀφείλο
μεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι. ὃς δ᾽ ἂν ἔχῃ τὸν
βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ, χρείαν ἔχοντα,
καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ᾽ αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ
θεοῦ μένει ἐν αὐτῷ; Τεκνία μου μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ
γλώσσῃ, ἀλλ᾽ ἔργῳ καὶ ἀληθείᾳ. καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι
ἐκ τῆς ἀληθείας ἐσμὲν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς
καρδίας ἡμῶν. ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μεί
ζων ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα. Ἀγα
πητοὶ ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν
ἔχομεν πρὸς τὸν θεὸν, καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ᾽
αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον
αὐτοῦ ποιοῦμεν, καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν
τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. καὶ ἀγαπῶμεν ἀλλή
λους, καθὼς ἔδωκεν ἐντολήν. καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ,
ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. καὶ ἐν τούτῳ γινώσκομεν
ὅτι μένει ἐν ἡμῖν ἐκ τοῦ πνεύματος, οὗ ἡμῖν ἔδωκεν. Κεφ. δ.
Ἀγαπητοὶ, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ IIII
πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστὶν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύ
θασιν εἰς τὸν κόσμον. ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ. πᾶν
πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ θεοῦ
ἐστί. καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐλη

ληλυθότα, ἐκ τοῦ θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀ-
κηκόατε, ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. ὑμεῖς
ἐκ τοῦ θεοῦ ἐστε τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν
ὁ ἐν ὑμῖν, ἢ ὁ ἐν τῷ κόσμῳ. αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί, διὰ
τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. ἡ-
μεῖς ἐκ τοῦ θεοῦ ἐσμέν. ὁ γινώσκων τὸν θεόν, ἀκούει ἡμῶν, ὃς
οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ
πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης. ἀγαπητοί,
ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστι· καὶ πᾶς ὁ ἀ-
γαπῶν, ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν θεόν. ὁ μὴ ἀ-
γαπῶν, οὐκ ἔγνω τὸν θεόν, ὅτι ὁ θεὸς ἀγάπη ἐστίν. ἐν τούτῳ ἐ-
φανερώθη ἡ ἀγάπη τοῦ θεοῦ, ὅτι τὸν υἱὸν αὐτοῦ μονογενῆ ἀπέσταλ-
κεν ὁ θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. ἐν τούτῳ
ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν θεόν, ἀλλ' ὅτι
αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν
περὶ τῶν ἁμαρτιῶν ἡμῶν. ἀγαπητοί εἰ οὕτως ἠγάπησεν ἡμᾶς
ὁ θεός, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. θεὸν οὐδεὶς
πώποτε τεθέαται. ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μέ-
νει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. ἐν τούτῳ γι-
νώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ
πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ
μαρτυροῦμεν, ὅτι ὁ πατὴρ ἀπέσταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσ-
μου. ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ. ὁ θεὸς
ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ θεῷ, καὶ ἡμεῖς ἐγνώκαμεν
καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. ὁ θεὸς
ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ θεῷ μένει, καὶ ὁ θεὸς
ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησί-
αν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι,
καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ. φόβος οὐκ ἔστιν ἐν τῇ ἀγά-
πῃ, ἀλλ'



πῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος
κόλασιν ἔχει. ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.
ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.
Ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ
μισῇ, ψεύστης ἐστίν. ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν
ἑώρακε, τὸν θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν· καὶ
ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεόν,
ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. Κεφ. ε. Πᾶς ὁ πιστεύων, Γ
ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ τοῦ θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀ-
γαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ.
ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν
τὸν θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. αὕτη
γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ
αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. ὅτι πᾶν τὸ γεγεννημένον
ἐκ τοῦ θεοῦ, νικᾷ τὸν κόσμον, καὶ αὕτη ἐστὶν ἡ νίκη, ἡ νικήσασα
τὸν κόσμον, ἡ πίστις ἡμῶν. τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ
ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ; οὗτός ἐστιν ὁ ἐλθὼν
δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός, οὐκ ἐν τῷ ὕδατι
μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. καὶ τὸ πνεῦμά ἐστι *
τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. * ὅτι τρεῖς εἰσιν
οἱ μαρτυροῦντες τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα, καὶ οἱ
τρεῖς εἰς τὸ ἕν εἰσιν. εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνο-
μεν, μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη ἡ μαρτυρία τοῦ
θεοῦ, ἣν μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν
τοῦ θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ, ὁ μὴ πιστεύων τῷ θεῷ,
ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυ-
ρίαν, ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ αὕτη
ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεός, καὶ
αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. ὁ ἔχων τὸν υἱόν, ἔχει τὴν

ζωήν. ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ, τὴν ζωὴν οὐκ ἔχει. Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ, ἵνα εἰδῆτε, ὅτι ζωὴν αἰώνιον ἔχετε, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ αὕτη ἐστὶν ἡ παῤῥησία, ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν. καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν, ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρ' αὐτοῦ. Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον, οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. πᾶσα ἀδικία ἁμαρτία ἐστίν, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. οἴδαμεν, ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμέν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται. οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινόν. καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεός, καὶ ἡ ζωὴ αἰώνιος. τεκνία φυλάξατε ἑαυτοὺς ἀπὸ εἰδώλων.

Ἀμήν.



# ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

ΑΥΤΗΝ ὁ πρεσβύτερος γράφει κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς, αὕτη. ὁρῶν τὰ τέκνα αὐτῆς καλῶς ἀναστρεφόμενα ἐν τῇ πίστει, καὶ πολλοὺς πλάνους περιερχομένους, καὶ λέγοντας, μὴ εἶναι τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν σαρκί, γράφει τὴν ἐπιστολήν. καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῆς τὰ τέκνα. εἶτα διδάσκων μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς. καὶ λοιπὸν διδάσκει ἀντίχριστον εἶναι, τὸν λέγοντα μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν. παραγγέλλει δέ, ὥστε τοὺς τοιούτους μὴ δέχεσθαί τινα εἰς οἰκίαν, μὴ δὲ λέγειν τοῖς τοιούτοις, χαίρειν, καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

Πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ᾽ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα. ἔσται καθ᾽ ἡμῶν χάρις, ἔλεος, εἰρήνη, παρὰ θεοῦ πατρὸς καὶ παρὰ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ. Ἐχάρην λίαν, ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρὸς. καὶ νῦν ἐρωτῶ σε κυρία. οὐχ ὡς ἐντολὴν γράφω σοι καινὴν. ἀλλὰ ἣν εἴχομεν ἀπ᾽ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἐστιν ἡ ἐντολὴ, καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε, ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί. οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. βλέπετε ἑαυτοὺς, μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ, θεὸν οὐκ ἔχει. ὁ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ, οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε. ὁ γὰρ λέγων χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς. πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλανος. ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς. Ἀμήν.



## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΤΡΙΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Στὶν ἡ ἐπιστολὴ περὶ φιλοξενίας. καὶ πρῶτον μὲν ἀποδέχεται τὸν γάϊον, μαρτυρούμενον παρὰ πάντων, ἐπὶ φιλοξενίᾳ. προτρέπει τῇ αὐτῇ προθέσει ἐμμένειν, καὶ προπέμπειν καὶ δεξιοῦσθαι τοὺς ἀδελφοὺς, πάλιν τε αὐτοῦ μὲν τὴν προσφορὰν ἀποδέχεται. αἰτιᾶται δὲ διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς. ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους, καὶ πολλὰ φλυαροῦντα, τοὺς δὲ τοιούτους λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας, καὶ μηδὲ εἰδέναι τὸν θεὸν, δημήτριον δὲ συνίστησι μαρτυρῶν αὐτῷ τὰ κάλλιστα.

# ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ.

Πρεσβύτερος γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. ἀγαπητὲ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι, καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν, καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. μειζοτέραν τούτων οὐκ ἔχω χαρὰν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. ἀγαπητὲ πιστὸν ποιεῖς, ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς

τοὺς ξένους, οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, οὓς καλῶς ποιήσεις, προπέμψας ἀξίως τοῦ θεοῦ. ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν. ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ. ἔγραψα τῇ ἐκκλησίᾳ, ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς. διὰ τοῦτο ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς, καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει. ἀγαπητὲ μὴ μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν, ὁ δὲ κακοποιῶν οὐχ ἑώρακε τὸν θεόν. Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας, καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἴδατε, ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι. πολλὰ εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι. ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσομεν, εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι. ἀσπάζου τοὺς φίλους κατ' ὄνομα.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗΣ.

τ Αὕτην ἐπιστολὴν γράφει τοῖς ἤδη πιστεύουσιν. ἡ δὲ πρόφασις αὕτη. παρεισελθόντων τινῶν, καὶ διδασκόντων ἀδιάφορον εἶναι τὴν πίστιν, καὶ ἀρνουμένων τὸν κύριον, ἀνάγκην ἔσχε γράψαι, καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς. καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς ἀγωνίσασθαι, καὶ ἐμμένειν τῇ παραδοθείσῃ αὐτοῖς πίστει. ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους, ὡς πλάνους, καὶ παραγγέλλει, μὴ δὲ μίαν κοινωνίαν



ἔχειν πρὸς τοὺς τοιούτους, εἰδότας, ὅτι οὐκ ἀρκεῖ τὸ κληθῆναι μόνον, ἐὰν μὴ καὶ ἀξίως περιπατήσωμεν τῆς κλήσεως. καὶ γὰρ καὶ τὸν πρότερον λαὸν ἐξαγαγὼν ἐξ Αἰγύπτου ὁ θεός, καὶ μὴ ἐμμείναντας τῇ πίστει, ἀπώλεσε. καὶ ἀγγέλους δὲ μὴ τηρήσαντας τὴν ἰδίαν τάξιν, οὐκ ἐφείσατο, δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν. καὶ γὰρ Μιχαὴλ ὁ ἀρχάγγελος, οὐχ ὑπήνεγκε βλασφημίαν τοῦ διαβόλου, ἔσεσθαι γὰρ οὖν τὴν ἀπώλειαν αὐτῶν ὡς Σοδόμων διδάσκει. εἶτα παραινεῖ εἰς τὰ ἤθη. καὶ ἐπευξάμενος αὐτοῖς βεβαιότητα τῆς πίστεως παρὰ τοῦ κυρίου, τελειοῖ τὴν ἐπιστολήν.

## ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΔΑ ΑΠΟΣΤΟΛΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

ι Οὔδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν θεῷ πατρὶ ἡγιασμένοις, καὶ Ἰησοῦ Χριστοῦ τετηρημένοις, κλητοῖς. Ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη. Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην θεόν, καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. ἀγγέλους τε

τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. ὡς σόδομα καὶ γόμοῤῥα, καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας. πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι. δόξας δὲ βλασφημοῦσιν. ὁ δὲ μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν, ἐπιτιμήσαι σοι κύριος. οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται, ἐν τούτοις φθείρονται. οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ κορὲ ἀπώλοντο. οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν, σπιλάδες, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων περιφερόμεναι, δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα, καὶ ἐκριζωθέντα, κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους, εἰς αἰῶνα τετήρηται. προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ ἀδὰμ ἐνὼχ, λέγων. ἰδοὺ ἦλθε κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐξελέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. Οὗτοί εἰσι γογγυσαὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν. ὑμεῖς δὲ ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν



προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες. ὑμεῖς δὲ ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ. εἰς ζωὴν αἰώνιον. καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι, οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.

Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους, καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, μόνῳ σοφῷ θεῷ σωτῆρι ἡμῶν, δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία, νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

ΕΠΙΣΤΟΛΗΣ ΙΟΥΔΑ

ΤΕΛΟΣ.

N y
Νασοῦδαίφιον ein zeichen
da man das fieber mitt
zeugt den Kosten
Cauterion, ein zeichen,

# ΑΠΟΚΑΛΥΨΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Κεφάλαιον πρῶτον.

I Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐ-
τῷ ὁ θεὸς, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ
γενέσθαι ἐν τάχει, καὶ ἐσήμανεν ἀποστεί-
α λας διὰ τοῦ ἀγγέλου αὐτοῦ, τῷ δούλῳ αὐτοῦ
ἰωάννῃ, ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ θεοῦ καὶ
τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα τε εἶδε.
μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούον-
τες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ
γεγραμμένα, ὁ γὰρ καιρὸς ἐγγύς. Ἰωάννης ταῖς ἑπτὰ ἐκκλη-
σίαις ταῖς ἐν τῇ ἀσίᾳ. χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ ὁ ὢν
καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἅ ἐστιν
ἐνώπιον τοῦ θρόνου αὐτοῦ, καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς,
ὁ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς.
τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἐκ τῶν ἁμαρτιῶν ἐν
τῷ αἵματι αὐτοῦ, καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς τῷ
θεῷ καὶ πατρὶ αὐτοῦ, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων, ἀμήν. Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν. καὶ
ὄψεται πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν. καὶ κό-
ψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ναί, ἀμήν. Ἐγώ εἰμι τὸ α. καὶ
τὸ ω. ἀρχὴ καὶ τέλος, λέγει ὁ κύριος, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμε-
νος ὁ παντοκράτωρ. Ἐγὼ ἰωάννης ὁ καὶ ἀδελφὸς ὑμῶν καὶ
συγκοινωνὸς ἐν τῇ θλίψει καὶ ἐν τῇ βασιλείᾳ καὶ ὑπομονῇ Ἰησοῦ
Χριστοῦ, ἐγενόμην ἐν τῇ νήσῳ πάτμῳ διὰ τὸν λόγον τοῦ θεοῦ
καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ. Ἐγενόμην ἐν πνεύματι ἐν τῇ



κυριακῇ ἡμέρᾳ, καὶ ἤκουσα ὀπίσω μου φωνὴν μεγάλην ὡς σάλ-
πιγγος, λεγούσης. Ἐγώ εἰμι τὸ α. καὶ τὸ ω. ὁ πρῶτος καὶ ὁ
ἔσχατος. καὶ ὃ βλέπεις γράψον εἰς βιβλίον, καὶ πέμψον ταῖς ἐκ-
κλησίαις, ταῖς ἐν ἀσίᾳ, εἰς ἔφεσον, καὶ εἰς σμύρνην, καὶ
εἰς πέργαμον, καὶ εἰς θυατείρας, καὶ εἰς σάρδεις, καὶ εἰς φι-
λαδελφίαν, καὶ εἰς λαοδικείαν. Καὶ ἐπέστρεψα βλέπειν τὴν
φωνὴν, ἥτις ἐλάλησε μετ᾽ ἐμοῦ. καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυ-
χνίας χρυσᾶς, καὶ ἐν μέσῳ τῶν λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώ-
που, ἐνδεδυμένον ποδήρη, καὶ περιεζωσμένον πρὸς τοῖς μα-
στοῖς ζώνην χρυσοῦν. Ἡ δὲ κεφαλὴ αὐτοῦ, καὶ αἱ τρίχες λευ-
καὶ, ὡσεὶ ἔριον λευκὸν, ὡς χιών. καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς
φλὸξ πυρός. καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν
καμίνῳ πεπυρωμένοι. Καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολ-
λῶν. Καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἀστέρας ἑπτὰ, καὶ ἐκ τοῦ
στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη. καὶ ἡ
ὄψις αὐτοῦ, ὡς ὁ ἥλιος φαίνει ἐν δυνάμει αὐτοῦ. καὶ ὅτε εἶδον
αὐτὸν, ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός. καὶ ἐπέθηκεν
τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπ᾽ ἐμὲ, λέγων μοι. Μὴ φοβοῦ, ἐγώ εἰμι
ὁ πρῶτος καὶ ὁ ἔσχατος, καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ
ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ ἔχω τὰς κλεῖς τοῦ
ᾅδου, καὶ τοῦ θανάτου. γράψον ἃ εἶδες, καὶ ἅ εἰσιν, καὶ ἃ μέλλει
γίνεσθαι μετὰ ταῦτα. Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων, οὓς εἶ-
δες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς.
οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσί. καὶ ἑπτὰ λυ-
χνίαι ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι εἰσί. Κεφ. β. Τῷ II
ἀγγέλῳ τῆς ἐφεσίνης ἐκκλησίας γράψον. τάδε λέγει ὁ κρα-
τῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐπὶ μέ-
σῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν. Οἶδα τὰ ἔργα σου, καὶ τὸν κό-
πον σου, καὶ τὴν ὑπομονήν σου. καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς,

καὶ ἐπειράσω τοὺς φάσκοντας εἶναι ἀποστόλους καὶ οὐκ εἰσί· καὶ εὗρες αὐτοὺς ψευδεῖς, καὶ ἐβάστασας· καὶ ὑπομονὴν ἔχεις, καὶ διὰ τὸ ὄνομά μου κεκοπίακας καὶ οὐ κέκμηκας. ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκας. μνημόνευε οὖν πόθεν ἐκπέπτωκας, καὶ μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον. Εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς. ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν νικολαϊτῶν, ἃ κἀγὼ μισῶ. Ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ θεοῦ. Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας σμυρναίων γράψον. τάδε λέγει ὁ πρῶτος, ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς, καὶ ἔζησεν. Οἶδά σου τὰ ἔργα καὶ τὴν θλίψιν καὶ τὴν πτωχείαν, πλούσιος δὲ εἶ, καὶ τὴν βλασφημίαν τῶν λεγόντων ἰουδαίους εἶναι ἑαυτούς, καὶ οὐκ εἰσὶν, ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ. μηδὲν φοβοῦ ἃ μέλλεις πάσχειν. Ἰδοὺ μέλλει βαλεῖν ἐξ ὑμῶν ὁ διάβολος εἰς φυλακὴν, ἵνα πειρασθῆτε, καὶ ἕξετε θλίψιν ἡμερῶν δέκα. Γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς. Ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου. καὶ τῷ ἀγγέλῳ τῆς ἐν περγάμῳ ἐκκλησίας γράψον. τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν. οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ σατανᾶ. καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου. καὶ ἐν ταῖς ἡμέραις ἐμαῖς, Ἀντίπας ὁ μάρτυς μου ὁ πιστὸς ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου κατοικεῖ ὁ σατανᾶς, ἀλλ' ἔχω κατά σου ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν βαλαὰμ, ὃς ἐδίδασκεν ἐν τῷ βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν ἰσραὴλ, φαγεῖν



εἰδωλόθυτα, καὶ πορνεῦσαι. οὕτως ἔχεις καὶ σὺ, κρατοῦντας τὴν διδαχὴν τῶν νικολαϊτῶν, ὃ μισῶ. μετανόησον, εἰ δὲ μὴ, ἔρχομαί σοι ταχὺ, καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου. Ὁ ἔχων οὖς, ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκὴν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς ἔγνω εἰ μὴ ὁ λαμβάνων. καὶ τῷ ἀγγέλῳ τῆς ἐν θυατείροις ἐκκλησίας γράψον. τάδε λέγει ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρὸς, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ. Οἶδά σου τὰ ἔργα καὶ τὴν ἀγάπην, καὶ τὴν διακονίαν, καὶ τὴν πίστιν, καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου, καὶ τὰ ἔσχατα πλείονα τῶν πρώτων. Ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἐᾷς τὴν γυναῖκα ἰεζαβὴλ τὴν λέγουσαν ἑαυτὴν προφῆτιν, διδάσκειν, καὶ πλανᾶσθαι ἐμοὺς δούλους πορνεῦσαι καὶ εἰδωλόθυτα φαγεῖν. καὶ ἔδωκα αὐτῇ χρόνον, ἵνα μετανοήσῃ ἐκ τῆς πορνείας αὐτῆς, καὶ οὐ μετανόησεν. Ἰδοὺ ἐγὼ βάλλω αὐτὴν εἰς κλίνην, καὶ μοιχεύοντας μετ' αὐτῆς, εἰς θλίψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῶν. καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ. καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι, ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας, καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν. ὑμῖν δὲ λέγω καὶ λοιποῖς τοῖς ἐν θυατείροις, ὅσοι οὐκ ἔχουσιν τὴν διδαχὴν ταύτην, καὶ οἵτινες οὐκ ἔγνωσαν. τὰ βάθη τοῦ σατανᾶ ὡς λέγουσιν, οὐ βαλῶ ἐφ' ὑμᾶς ἄλλο βάρος, πλὴν ὃ ἔχετε, κρατήσατε ἄχρις οὗ ἂν ἥξω. καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν, καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κεραμικὰ συντρίβεται. ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου, καὶ

δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν. Ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Κεφάλαιον γ.

III Καὶ τῷ ἀγγέλῳ τῆς ἐν σάρδεσιν ἐκκλησίας γράψον. τάδε λέγει ὁ ἔχων τὰ πνεύματα τοῦ θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας. Οἶδά σου τὰ ἔργα, ὅτι τὸ ὄνομα ἔχεις ὅτι ζῇς, καὶ νεκρὸς εἶ. Γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπά, ἃ μέλλει ἀποθανεῖν. οὐ γὰρ εὕρηκά σου ἔργα πεπληρωμένα ἐνώπιον τοῦ θεοῦ. μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει, καὶ μετανόησον. ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ἐπί σε ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς ποίαν ὥραν ἥξω ἐπί σε. Ἔχεις ὀλίγα ὀνόματα καὶ ἐν σάρδεσιν, οἳ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσιν μετ' ἐμοῦ ἐν λευκοῖς, ὅτι ἄξιοί εἰσιν. Ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς. καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ βίβλου τῆς ζωῆς, καὶ ἐξομολογήσομαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ. Ὁ ἔχων οὖς, ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. καὶ τῷ ἀγγέλῳ τῆς ἐν φιλαδελφίᾳ ἐκκλησίας γράψον. τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαβίδ, ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείει, καὶ κλείει, καὶ οὐδεὶς ἀνοίγει, Οἶδά σου τὰ ἔργα. ἰδοὺ δέδωκα ἐνώπιόν σου, θύραν ἀνεῳγμένην, καὶ οὐδεὶς δύναται κλεῖσαι αὐτήν, ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου τὸν λόγον. οὐκ ἠρνήσω τὸ ὄνομά μου. ἰδοὺ δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ τῶν λεγόντων αὐτοὺς ἰουδαίους εἶναι, καὶ οὐκ εἰσίν, ἀλλὰ ψεύδονται. ἰδοὺ ποιήσω αὐτούς, ἵνα ἥξωσιν καὶ προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά σε, ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. ἰδοὺ



ἔρχομαι ταχύ. κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου. Ὁ νικῶν, ποιήσω αὐτὸν στῦλον ἐν τῷ ναῷ τοῦ θεοῦ μου. καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι, καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ θεοῦ μου, καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ θεοῦ μου τῆς καινῆς Ἱερουσαλήμ, ἡ καταβαίνουσα ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ μου, καὶ τὸ ὄνομά μου τὸ καινόν. ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις, καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας λαοδικέων γράψον. τάδε λέγει. ἀμὴν ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινός, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ θεοῦ. οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ οὔτε ζεστός. ὄφελον ψυχρὸς εἴης ἢ ζεστός, οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὔτε ψυχρὸς, οὔτε ζεστός, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου, ὅτι λέγεις, ὅτι πλούσιός εἰμι, καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω, καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος καὶ ἐλεεινὸς καὶ πτωχὸς καὶ τυφλὸς καὶ γυμνός. συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρός, ἵνα πλουτήσῃς, καὶ ἱμάτια λευκὰ ἵνα περιβάλῃ, καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου, καὶ κολλούριον ἔγχρισον τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς. Ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω, καὶ παιδεύω. ζήλωσον οὖν καὶ μετανόησον. Ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν, καὶ κρούω. ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτόν, καὶ δειπνήσω μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ.

Ὁ νικῶν δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα, καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ. Ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Κεφάλαιον δ.

IIII Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἠνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη, ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέγουσα. ἀνάβα ὧδε, καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα, καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι, καὶ ἰδοὺ θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τοῦ

θρόνου καθήμενος, καὶ ὁ καθήμενος ἦν ὅμοιος ὁράσει λίθῳ
ἰάσπιδι, καὶ σαρδίνῳ, καὶ ἶρις κυκλόθεν τοῦ θρόνου, ὅμοιος
ὁράσει σμαραγδίνῳ. καὶ κυκλόθεν τοῦ θρόνου θρόνοι κδ.
καὶ ἐπὶ τοὺς θρόνους κδ. πρεσβυτέρους καθημένους, περι-
βεβλημένους ἐν ἱματίοις λευκοῖς, καὶ ἔσχον ἐπὶ τὰς κεφα-
λὰς αὐτῶν στεφάνους χρυσοῦς, καὶ ἐκ τοῦ θρόνου ἐκπορεύον-
ται ἀστραπαὶ, καὶ βρονταὶ, καὶ φωναὶ, καὶ ἑπτὰ λαμπάδες πυ-
ρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ εἰσι τὰ ἑπτὰ πνεύματα
τοῦ θεοῦ, καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη ὁμοία
κρυστάλλῳ. καὶ ἐν μέσῳ τοῦ θρόνου, καὶ κύκλῳ τοῦ θρόνου
τέσσαρα ζῶα, γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν, καὶ τὸ
ζῶον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῶον ὅμοιον μό-
σχῳ, καὶ τὸ τρίτον ζῶον ἔχον τὸ πρόσωπον ὡς ἄνθρωπος, καὶ
τὸ τέταρτον ζῶον ὅμοιον ἀετῷ πετωμένῳ. καὶ τέσσαρα ζῶα, ἓν
καθ' ἑαυτὸ εἶχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν γέμον-
τα ὀφθαλμῶν. καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς,
λέγοντες. ἅγιος, ἅγιος, ἅγιος κύριος ὁ θεὸς ὁ παντοκράτωρ
ὁ ἦν καὶ ὁ ὢν, καὶ ὁ ἐρχόμενος. καὶ ὅταν δώσουσι τὰ ζῶα δόξαν
καὶ τιμὴν, καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου τῷ ζῶντι
εἰς τοὺς αἰῶνας τῶν αἰώνων, πεσοῦνται οἱ κδ. πρεσβύτεροι
ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνοῦσι τῷ ζῶντι εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. καὶ βάλλουσι τοὺς στεφάνους αὐτῶν ἐνώπι-
ον τοῦ θρόνου, λέγοντες. ἄξιος εἶ κύριε λαβεῖν τὴν δόξαν καὶ
τὴν τιμὴν, καὶ τὴν δύναμιν, ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ
διὰ τὸ θέλημά σου εἰσὶ, καὶ ἐκτίσθησαν. Κεφάλαιον. ε.
V Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βι-
βλίον γεγραμμένον ἔσωθεν καὶ ὄπισθεν, κατεσφραγισμένον
σφραγῖσιν ἑπτά. καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα φωνῇ
μεγάλῃ. τίς ἐστιν ἄξιος ἀνοῖξαι τὸ βιβλίον, καὶ λῦσαι τὰς
σφραγῖδας



σφραγῖδας αὐτοῦ; καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ, οὐδὲ ἐπὶ
γῆς, καὶ ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον, οὐδὲ βλέπειν αὐ-
τό. Καὶ ἔκλαιον πολλὰ, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι, καὶ
ἀναγνῶναι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό. καὶ εἷς τῶν πρεσβυτέ-
ρων λέγει μοι, μὴ κλαῖε. ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ὢν ἐκ τῆς φυ-
λῆς ἰούδα, ἡ ῥίζα δαβὶδ ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς ἑπ-
τὰ σφραγῖδας αὐτοῦ, καὶ εἶδον, καὶ ἰδοὺ ἐν μέσῳ τοῦ θρόνου
καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων, ἀρνίον
ἑστηκὸς ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς ἑπτὰ
οἵ εἰσι τὰ τοῦ θεοῦ πνεύματα τὰ ἀπεσταλμένα εἰς πᾶσαν τὴν γῆν.
καὶ ἦλθε καὶ εἴληφε τὸ βιβλίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ
τοῦ θρόνου. καὶ ὅτε ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα, καὶ οἱ κδ.
πρεσβύτεροι ἔπεσαν ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθά-
ρας, καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ
προσευχαὶ τῶν ἁγίων. καὶ ᾄδουσιν ᾠδὴν καινὴν, λέγοντες, ἄ-
ξιος εἶ λαβεῖν τὸ βιβλίον, καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ, ὅτι
ἐσφάγης, καὶ ἠγόρασας ἡμᾶς ἐν τῷ αἵματί σου ἐκ πάσης
φυλῆς καὶ γλώσσης, καὶ λαοῦ, καὶ ἔθνους, καὶ ἐποίησας ἡμᾶς
τῷ θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς, καὶ βασιλεύσομεν ἐπὶ τῆς
γῆς. καὶ εἶδον, καὶ ἤκουσα φωνὴν ἀγγέλων πολλῶν κυκλόθεν τοῦ
θρόνου καὶ τῶν ζώων, καὶ πρεσβυτέρων. καὶ χιλιάδες χιλιάδων.
λέγοντες φωνῇ μεγάλῃ, ἄξιόν ἐστιν ἀρνίον τὸ ἐσφαγμένον λα-
βεῖν τὴν δύναμιν, καὶ πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν, καὶ τιμὴν, καὶ
δόξαν, καὶ εὐλογίαν. καὶ πᾶν κτίσμα ὅ ἐστιν ἐν τῷ οὐρανῷ, καὶ
ἐν τῇ γῇ, καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης ἅ ἐστι, καὶ
τὰ ἐν αὐτοῖς πάντα, ἤκουσα λέγοντας, τῷ καθημένῳ ἐπὶ τοῦ
θρόνου καὶ τῷ ἀρνίῳ ἡ εὐλογία, καὶ ἡ τιμὴ, καὶ ἡ δόξα, καὶ τὸ κρά-
τος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ τὰ τέσσαρα ζῶα ἔλεγον,
ἀμήν. καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσαν, καὶ προσ-

κύνησαν ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Κεφ. ϛ.
VI Καὶ εἶδον, ὅτε ἤνοιξε τὸ ἀρνίον ἓν ἐκ τῶν σφραγίδων, καὶ
ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων, λέγοντος, ὡς φωνῆς βρον
τῆς, ἔρχου καὶ βλέπε, καὶ εἶδον. καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ
καθήμενος ἐπ' αὐτῷ ἔχων τόξον. καὶ ἐδόθη αὐτῷ στέφανος, καὶ
ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ. καὶ ὅτε ἤνοιξε τὴν σφραγίδα τὴν
δευτέραν, ἤκουσα τοῦ δευτέρου ζώου, λέγοντος, ἔρχου καὶ βλέπε.
Καὶ ἐξῆλθεν ἄλλος ἵππος πυῤῥὸς, καὶ τῷ καθημένῳ ἐπ' αὐτῷ
ἐδόθη αὐτῷ, λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς, καὶ ἵνα ἀλλή
λους σφάξωσι, καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη. Καὶ ὅτε
ἤνοιξε τὴν τρίτην σφραγίδα, ἤκουσα τοῦ τρίτου ζώου, λέγον
τος. ἔρχου καὶ βλέπε. καὶ εἶδον, καὶ ἰδοὺ ἵππος μέλας,
καὶ ὁ καθήμενος ἐπ' αὐτῷ, ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ.
καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων, λέγουσαν,
χοῖνιξ σίτου δηναρίου. καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου, καὶ
τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς. Καὶ ὅτε ἤνοιξε τὴν σφρα
γίδα τὴν τετάρτην, ἤκουσα φωνὴν τοῦ τετάρτου ζώου λέγου
σαν. ἔρχου καὶ βλέπε, καὶ εἶδον. καὶ ἰδοὺ ἵππος χλωρὸς, καὶ
ὁ καθήμενος ἐπάνω, ὄνομα αὐτῷ ὁ θάνατος, καὶ ὁ ᾅδης ἀ
κολουθεῖ μετ' αὐτοῦ. ἐδόθη αὐτοῖς ἐξουσία ἀποκτεῖναι ἐπὶ τὸ τέ
ταρτον τῆς γῆς ἐν ῥομφαίᾳ, ἐν λιμῷ καὶ ἐν θανάτῳ, ὑπὸ τῶν
θηρίων τῆς γῆς. καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγίδα, εἶ
δον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων
διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν ἣν εἶχον, καὶ ἔ
κραζον φωνῇ μεγάλῃ, λέγοντες, ἕως πότε ὁ δεσπότης ὁ ἅγι
ος. καὶ ὁ ἀληθινὸς οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν
κατοικούντων ἐπὶ τῆς γῆς; καὶ ἐδόθησαν ἑκάστοις στολαὶ λευκαὶ
καὶ ἐῤῥέθη αὐτοῖς, ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν, ἕως οὗ
πληρώσονται καὶ οἱ σύνδουλοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλ



λοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί. καὶ εἶδον, ὅτε ἤνοιξε τὴν
σφραγίδα τὴν ἕκτην, καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο, καὶ ὁ
ἥλιος ἐγένετο μέλας ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη ἐγένετο
ὡς αἷμα. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν γῆν, ὡς συκῆ
βάλλει τοὺς ὀλύνθους αὐτῆς. ὑπὸ μεγάλου ἀνέμου σειομένη. καὶ
οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον εἱλισσόμενον. καὶ πᾶν ὄρος καὶ
νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν, καὶ οἱ βασιλεῖς τῆς γῆς,
καὶ οἱ μεγιστᾶνες, καὶ οἱ πλούσιοι, καὶ οἱ χιλίαρχοι, καὶ οἱ δυνα
τοί. καὶ πᾶς δοῦλος, καὶ πᾶς ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς εἰς
τὰ σπήλαια, καὶ εἰς τὰς πέτρας τῶν ὀρέων, καὶ λέγουσι τοῖς
ὄρεσι καὶ ταῖς πέτραις, πέσετε ἐφ' ἡμᾶς, καὶ κρύψατε ἡμᾶς ἀ
πὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ τῆς ὀργῆς τοῦ ἀρ
νίου, ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ, καὶ τίς δύ
ναται σταθῆναι; Κ. ζ. Καὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέ VII
λους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας
τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς
γῆς, μήτε ἐπὶ τῆς θαλάσσης, μήτε ἐπὶ πᾶν δένδρον. καὶ εἶδον
ἄλλον ἄγγελον ἀναβάντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖ
δα θεοῦ ζῶντος, καὶ ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέ
λοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν, λέ
γων, μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ
δένδρα, ἄχρι σφραγίζωμεν τοὺς δούλους τοῦ θεοῦ ἡμῶν ἐπὶ τῶν
μετώπων αὐτῶν. καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων.
ρμδ. χιλιάδες ἐσφραγισμένοι, ἐκ πάσης φυλῆς υἱῶν ἰσρα
ὴλ, ἐκ φυλῆς ἰούδα. ιβ. χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς
ῥουβὶμ. ιβ. χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς γὰδ. ιβ. χι
λιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς ἀσὴρ. ιβ. χιλιάδες
ἐσφραγισμένοι. ἐκ φυλῆς νεφθαλὶμ. ιβ. χιλιάδες ἐσφρα
γισμένοι. ἐκ φυλῆς μανασσῆ. ιβ. χιλιάδες ἐσφραγισμένοι.

ἐκ φυλῆς συμεὼν, ιβ. χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς
λευὶ, ιβ. χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς ἰσαχάρ, ιβ. χι-
λιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς ζαβουλὼν, ιβ. χιλιάδες
ἐσφραγισμένοι. ἐκ φυλῆς ἰωσὴφ, ιβ. χιλιάδες ἐσφραγισμέ-
νοι. ἐκ φυλῆς βενιαμὶν, ιβ. χιλιάδες ἐσφραγισμένοι. Μετὰ
ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος πολὺς, ὃν ἀριθμῆσαι αὐτὸν οὐ-
δεὶς ἠδύνατο, ἐκ παντὸς ἔθνους καὶ λαῶν, καὶ γλωσσῶν, ἑστῶτες
ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τοῦ ἀρνίου, περιβεβλημένοι στολὰς
λευκὰς, καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν, καὶ κράζοντες
φωνῇ μεγάλῃ, λέγοντες, ἡ σωτηρία τῷ καθημένῳ ἐπὶ τοῦ θρό-
νου τοῦ θεοῦ ἡμῶν, καὶ τῷ ἀρνίῳ. καὶ πάντες οἱ ἄγγελοι ἑστήκε-
σαν κύκλῳ τοῦ θρόνου, καὶ τῶν πρεσβυτέρων, καὶ τῶν τεσσάρων
ζώων, καὶ ἔπεσαν ἐνώπιον τοῦ θρόνου ἐπὶ πρόσωπον αὐτῶν, καὶ
προσεκύνησαν τῷ θεῷ, λέγοντες, ἀμὴν ἡ εὐλογία καὶ ἡ δόξα
καὶ ἡ σοφία, καὶ ἡ εὐχαριστία, καὶ ἡ τιμὴ καὶ ἡ δύναμις, καὶ ἡ ἰσ-
χὺς τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. καὶ ἀπε-
κρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέγων μοι. οὗτοι οἱ περιβεβλη-
μένοι τὰς στολὰς τὰς λευκὰς, τίνες; καὶ πόθεν ἦλθον; καὶ εἴρη-
κα αὐτῷ. κύριε σὺ οἶδας, καὶ εἶπέ μοι, οὗτοί εἰσιν οἱ ἐρχόμε-
νοι ἐκ τῆς θλίψεως τῆς μεγάλης, καὶ ἐπλάτυναν τὰς στολὰς
αὐτῶν, καὶ ἐλεύκαναν στολὰς αὐτῶν ἐν τῷ αἵματι τοῦ ἀρνίου,
διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ, καὶ λατρεύουσιν αὐτῷ
ἡμέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ. καὶ ὁ καθήμενος ἐπὶ τοῦ
θρόνου σκηνώσει ἐπ᾽ αὐτούς. Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψή-
σουσιν, οὐδὲ μὴ πέσῃ ἐπ᾽ αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα. ὅτι
τὸ ἀρνίον τὸ ἀναμέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει
αὐτοὺς ἐπὶ ζώσας πηγὰς ὑδάτων, καὶ ἐξαλείψει ὁ θεὸς πᾶν
VIII δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Κεφ. η. Καὶ ὅτε
ἤνοιξε τὴν σφραγίδα τὴν ἑβδόμην ἐγένετο σιγὴ ἐν τῷ οὐρα-



νῷ ὡς ἡμιώριον, καὶ εἶδον ἀγγέλους, οἱ ἐνώπιον τοῦ θεοῦ ἑστήκα-
σι, καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες. καὶ ἄλλος ἄγγελος
ἦλθε, καὶ ἐστάθη ἐπὶ τὸ θυσιαστήριον, ἔχων λιβανωτὸν χρυσοῦν,
καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλὰ, ἵνα δώσῃ ταῖς προσευ-
χαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπι-
ον τοῦ θρόνου. καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευ-
χαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ θεοῦ. καὶ εἴλη-
φεν ὁ ἄγγελος τὸ λιβανωτὸν, καὶ ἐγέμισεν αὐτὸ ἐκ τοῦ πυρὸς τοῦ
θυσιαστηρίου, καὶ ἔβαλεν εἰς τὴν γῆν, καὶ ἐγένοντο φωναὶ, καὶ βρον-
ταὶ, καὶ ἀστραπαὶ, καὶ σεισμὸς, καὶ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς
ἑπτὰ σάλπιγγας, ἡτοίμασαν ἑαυτοὺς, ἵνα σαλπίσωσι. καὶ ὁ
πρῶτος ἄγγελος ἐσάλπισε. καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγ-
μένα αἵματι. καὶ ἐβλήθη εἰς τὴν γῆν. καὶ τὸ τρίτον τῶν δένδρων κα-
τεκάη, καὶ πᾶς χόρτος χλωρὸς κατεκάη. καὶ ὁ δεύτερος ἄγγε-
λος ἐσάλπισε, καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον, ἐβλήθη εἰς
τὴν θάλασσαν, καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης αἷμα, καὶ ἀπέ-
θανε τὸ τρίτον τῶν κτισμάτων, τὰ ἔχοντα ψυχάς. καὶ τὸ τρίτον τῶν
πλοίων διεφθάρησαν. καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισε, καὶ ἔ-
πεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λαμπὰς, καὶ
ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ τὰς πηγὰς ὑδάτων,
καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ἄψινθος. καὶ γίνεται τὸ τρίτον εἰς ἀ-
ψινθον. καὶ πολλοὶ ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπι-
κράνθησαν. Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε, καὶ ἐπλήγη τὸ
τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σελήνης, καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα
σκοτισθῇ τὸ τρίτον αὐτῶν. καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς,
καὶ ἡ νὺξ ὁμοίως. Καὶ εἶδον, καὶ ἤκουσα ἑνὸς ἀγγέλου πετωμέ-
νου ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ, οὐαὶ, οὐαὶ τοῖς
κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπι-
γος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

IX Κεφ. θ. Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶδον
ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ
ἡ κλεὶς τοῦ φρέατος τῆς ἀβύσσου, καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου
καὶ ἀνέβη καπνὸς καμίνου μεγάλης, καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ
ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος. καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρί-
δες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξουσία, ὡς ἔχουσιν ἐξου-
σίαν οἱ σκορπίοι τῆς γῆς, καὶ ἐρρέθη αὐταῖς, ἵνα μὴ ἀδική-
σωσι τὸν χόρτον τῆς γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ πᾶν δέν-
δρον, εἰ μὴ τοὺς ἀνθρώπους, οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖ-
δα ἐπὶ τῶν μετώπων. καὶ ἐδόθη αὐτοῖς ἵνα μὴ ἀποκτείνωσιν
αὐτοὺς, ἀλλ' ἵνα βασανισθῶσι μῆνας πέντε, καὶ ὁ βασανισμὸς
αὐτῶν, ὡς βασανισμὸς σκορπίου ὅταν παίσῃ ἄνθρωπον.
Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θά-
νατον, καὶ οὐχ εὑρήσουσιν αὐτὸν, καὶ ἐπιθυμήσουσι ἀποθα-
νεῖν, καὶ φεύξεται ὁ θάνατος ἀπ' αὐτῶν. Καὶ τὰ ὁμοιώματα τῶν ἀκρί-
δων, ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον, καὶ ἐπὶ τὰς
κεφαλὰς αὐτῶν ὡς στέφανοι ὅμοιοι χρυσῷ. καὶ τὰ πρόσωπα
αὐτῶν, ὡς πρόσωπα ἀνθρώπων. καὶ εἶχον τρίχας ὡς τρίχας
γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν, ὡς λεόντων ἦσαν. καὶ εἶχον
θώρακας, ὡς θώρακας σιδηροῦς. καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν,
ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον. καὶ
ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις. καὶ κέντρα ἦν ἐν ταῖς οὐραῖς
αὐτῶν, καὶ ἡ ἐξουσία αὐτῶν, ἀδικῆσαι τοὺς ἀνθρώπους μῆνας
πέντε, καὶ ἔχουσιν ἐπ' αὐτῶν βασιλέα τὸν ἄγγελον τῆς ἀβύσσου,
ὄνομα αὐτῷ ἑβραϊστὶ ἀββαδδὼν, καὶ ἐν τῇ ἑλληνικῇ ὄνομα
ἔχει, ἀπολλύων. ἡ οὐαὶ ἡ μία ἀπῆλθεν, ἰδοὺ ἔρχεται δύο οὐαὶ
μετὰ ταῦτα. καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φω-
νὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ
ἐνώπιον τοῦ θεοῦ, λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ ὃς εἶχε τὴν σάλ-



πιγγα. λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ
τῷ ποταμῷ τῷ μεγάλῳ εὐφράτῃ, καὶ ἐλύθησαν οἱ τέσσαρες
ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆνα καὶ
ἐνιαυτὸν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν ἀνθρώπων. καὶ ὁ ἀριθ-
μὸς στρατευμάτων τοῦ ἱππικοῦ δύο μυριάδες μυριάδων.
Καὶ ἤκουσα τὸν ἀριθμὸν αὐτῶν. καὶ οὕτως εἶδον τοὺς ἵππους
ἐν τῇ ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν ἔχοντας θώρα-
κας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις. καὶ αἱ κεφαλαὶ τῶν
ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπο-
ρεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον. ὑπὸ τῶν τριῶν τούτων ἀπε-
κτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων ἐκ τοῦ πυρὸς καὶ ἐκ τοῦ κα-
πνοῦ, καὶ ἐκ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν.
αἱ γὰρ ἐξουσίαι αὐτῶν ἐν τῷ στόματι αὐτῶν εἰσίν. αἱ γὰρ οὐ-
ραὶ αὐτῶν ὅμοιοι ὄφεσιν, ἔχουσαι κεφαλὰς, καὶ ἐν αὐταῖς ἀ-
δικοῦσιν. καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ ἀπεκτάνθησαν ἐν
ταῖς πληγαῖς ταύταις, οὔτε μετενόησαν ἐκ τῶν ἔργων τῶν
χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια καὶ τὰ εἴδω-
λα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, καὶ τὰ χαλκᾶ, καὶ τὰ λίθινα, καὶ
τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται, οὔτε ἀκούειν, οὔτε περιπα-
τεῖν, καὶ οὔτε μετενόησαν ἐκ τῶν φόνων αὐτῶν, οὔτε ἐκ τῶν φαρμα-
κειῶν αὐτῶν, οὔτε ἐκ τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων
αὐτῶν. Κεφ. 10. Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν κα- X
ταβαίνοντα ἐκ τοῦ οὐρανοῦ περιβεβλημένον νεφέλην. καὶ ἶρις ἐπὶ
τῆς κεφαλῆς, καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πό-
δες αὐτοῦ ὡς στῦλοι πυρός. καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδι-
ον ἠνεῳγμένον, καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τὴν θά-
λασσαν, τὸν δὲ εὐώνυμον ἐπὶ τὴν γῆν, καὶ ἔκραξε φωνῇ με-
γάλῃ, ὥσπερ λέων μυκᾶται. καὶ ὅτε ἔκραξεν, ἐλάλησαν
ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς. καὶ ὅτε ἐλάλησαν ἑπτὰ

βρονταὶ τὰς φωνὰς ἑαυτῶν, ἔμελλον γράφειν· καὶ ἤκουσα
φωνὴν ἐκ τοῦ οὐρανοῦ, λέγουσάν μοι, σφράγισον ἃ ἐλάλησαν
αἱ ἑπτὰ βρονταὶ, ϗ μὴ ταῦτα γράψῃς, καὶ ὁ ἄγγελος ὃν εἶδον
ἑστῶτα ἐπὶ τῆς θαλάσσης, ϗ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐ-
τοῦ εἰς τὸν οὐρανὸν, ϗ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας
τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν ϗ τὰ ἐν αὐτῷ, ϗ τὴν θά-
λασσαν ϗ τὰ ἐν αὐτῇ, ὅτι χρόνος οὐκ ἔσται ἔτι, ἀλλὰ ἐν ταῖς
ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλει σαλπί-
ζειν, ϗ τελεσθῇ τὸ μυστήριον τοῦ θεοῦ, ὡς εὐηγγέλισε τοῖς ἑαυτοῦ
δούλοις τοῖς προφήταις· καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρα-
νοῦ πάλιν λαλοῦσα μετ' ἐμοῦ, ϗ λέγουσα· ὕπαγε, λαβὲ τὸ βι-
βλαρίδιον τὸ ἠνεῳγμένον ἐν τῇ χειρὶ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ
τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς· καὶ ἀπῆλθον πρὸς τὸν ἄγ-
γελον λέγων αὐτῷ, δός μοι τὸ βιβλαρίδιον· ϗ λέγει μοι, λα-
βὲ ϗ κατάφαγε αὐτὸ, ϗ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ' ἐν στό-
ματί σου ἔσται γλυκὺ ὡς μέλι· καὶ ἔλαβον τὸ βιβλαρίδιον ἐκ
τῆς χειρὸς τοῦ ἀγγέλου, ϗ κατέφαγον αὐτὸ, ϗ ἦν τῷ στόματί
μου, ὡς μέλι γλυκύ· ϗ ὅτε ἔφαγον αὐτὸ ἐπικράνθη ἡ κοιλία
μου· ϗ λέγει μοι, δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς ϗ ἔθ-
XI νεσι ϗ γλώτταις, ϗ βασιλεῦσι πολλοῖς. Κεφ. ια. Καὶ
ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, λέγων, ἔγειραι ϗ μέτρη-
σον τὸν ναὸν τοῦ θεοῦ, ϗ τὸ θυσιαστήριον ϗ τοὺς προσκυνοῦντας
ἐν αὐτῷ, ϗ τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ ναοῦ ἔκβαλε ἔξωθεν, ϗ
μὴ αὐτὴν μετρήσῃς· ϗ ἐδόθη τοῖς ἔθνεσι, ϗ τὴν πόλιν τὴν
ἁγίαν πατήσουσι μῆνας τεσσαράκοντα δύο, καὶ δώσω τοῖς
δυσὶ μάρτυσί μου, ϗ προφητεύσουσιν ἡμέρας χιλίας δια-
κοσίας ἑξήκοντα περιβεβλημένοι σάκκους, οὗτοί εἰσιν αἱ δύο
ἐλαῖαι ϗ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ θεοῦ τῆς γῆς ἑστῶσαι. καὶ
εἴτις αὐτοὺς θέλῃ ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος



αὐτῶν, ϗ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· ϗ εἴτις θέλῃ ἀδι-
κῆσαι, οὕτως δεῖ αὐτὸν ἀποκτανθῆναι. οὗτοι ἔχουσιν ἐξουσί-
αν κλεῖσαι τὸν οὐρανὸν, ἵνα μὴ βρέχῃ ὑετὸς ἐν ταῖς ἡμέραις
αὐτῶν τῆς προφητείας, ϗ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων
στρέφειν εἰς αἷμα, ϗ πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ, ὁσά-
κις ἐὰν θελήσωσιν· καὶ ὅτε τελέσωσι τὴν μαρτυρίαν αὐτῶν,
τὸ θηρίον ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει πόλεμον μετ' αὐ-
τῶν, ϗ νικήσει αὐτοὺς, ϗ ἀποκτενεῖ αὐτοὺς, καὶ τὰ πτώμα-
τα αὐτῶν ἐπὶ τῆς πλατείας πόλεως τῆς μεγάλης ἥτις καλεῖ-
ται πνευματικῶς σόδομα ϗ αἴγυπτος, ὅπου ὁ κύριος ἡμῶν
ἐσταυρώθη· ϗ βλέψουσιν ἐκ τῶν λαῶν ϗ φυλῶν ϗ γλωττῶν τὰ
πτώματα αὐτῶν, ϗ οἱ ἐκ τῶν ἐθνῶν ἡμέρας τρεῖς ϗ ἥμισυ,
ϗ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνήματα· ϗ
οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαροῦσι ἐπ' αὐτοῖς καὶ εὐφραί-
νονται, ϗ δῶρα πέμψουσιν ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προ-
φῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς· καὶ μετὰ
τρεῖς ἡμέρας ϗ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ εἰσῆλθεν αὐτοῖς·
ϗ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, ϗ φόβος μέγας ἔπεσεν ἐπὶ
τοὺς θεωροῦντας αὐτούς· ϗ ἤκουσαν φωνὴν μεγάλην ἐκ τοῦ οὐ-
ρανοῦ, λέγουσαν αὐτοῖς, ἀνάβητε ὧδε, ϗ ἀνέβησαν εἰς τὸν οὐ-
ρανὸν ἐν τῇ νεφέλῃ· ϗ θεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν· ϗ
ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς μέγας· ϗ τὸ δέκατον τῆς
πόλεως ἔπεσε, ϗ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα
ἀνθρώπων χιλιάδες ἑπτὰ, ϗ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο· ϗ
ἔδωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ· οὐαὶ ἡ δευτέρα ἀπῆλθε,
ἰδοὺ ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ· ϗ ὁ ἕβδομος ἄγγελος ἐ-
σάλπισε, ϗ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγου-
σαι, ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου τοῦ κυρίου ἡμῶν ϗ τοῦ Χρι-
στοῦ αὐτοῦ, ϗ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ϗ οἱ. κα.

πρεσβύτεροι ἐνώπιον τοῦ θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐ-
τῶν, ἔπεσαν ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν τῷ
θεῷ, λέγοντες, εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ὁ παντοκράτωρ
ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὅτι εἴληφας δύναμίν σου
τὴν μεγάλην, καὶ ἐβασίλευσας. καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ
ἦλθεν ἡ ὀργή σου καὶ ὁ καιρὸς τῶν νεκρῶν κριθῆναι καὶ δοῦναι
τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις,
καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ τοῖς μεγά-
λοις, καὶ διαφθεῖραι τοὺς φθείροντας τὴν γῆν. καὶ ἠνοίγη ὁ να-
ὸς τοῦ θεοῦ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης
αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ. καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρον-
XII ταί, καὶ σεισμός, καὶ χάλαζα μεγάλη. Κεφ. ιβ. Καὶ ση-
μεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ, γυνὴ περιβεβλημένη τὸν ἥλι-
ον, καὶ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφα-
λῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα. καὶ ἐν γαστρὶ ἔχουσα κρά-
ζει, ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν. καὶ ὤφθη ἄλλο σημεῖον
ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων μέγας πυῤῥός, ἔχων κεφα-
λὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ διαδή-
ματα ἑπτά. καὶ ἡ οὐρὰ σύρει τὸ τρίτον τῶν ἀστέρων, καὶ ἔβαλεν αὐ-
τοὺς εἰς τὴν γῆν, καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς
μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς, φάγῃ. καὶ
ἔτεκεν υἱὸν ἄῤῥενα ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβ-
δῳ σιδηρᾷ. καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ
τὸν θρόνον αὐτοῦ. καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει
τόπον ἡτοιμασμένον ἀπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν
ἡμέρας χιλίας διακοσίας ἑξήκοντα. καὶ ἐγένετο πόλεμος
ἐν τῷ οὐρανῷ. Ὁ μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπολέμησαν
κατὰ τοῦ δράκοντος. καὶ ὁ δράκων ἐπολέμησε, καὶ οἱ ἄγγελοι αὐ-
τοῦ, καὶ οὐκ ἴσχυσαν, οὔτε τόπος εὑρέθη αὐτῶν ἔτι ἐν τῷ οὐ-



ρανῷ, καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας ὄφις ὁ ἀρχαῖος ὁ καλού-
μενος διάβολος, καὶ ὁ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅ-
λην, ἐβλήθη εἰς τὴν γῆν. καὶ οἱ ἄγγελοι αὐτοῦ ἐβλήθησαν, καὶ
ἤκουσα φωνὴν μεγάλην, λέγουσαν, ἐν τῷ οὐρανῷ ἄρτι ἐγέ-
νετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ θεοῦ ἡμῶν καὶ ἡ
ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ, ὅτι κατεβλήθη ὁ κατήγορος αὐτῶν ὁ
ἐνώπιον τοῦ θεοῦ ἡμέρας καὶ νυκτός. καὶ αὐτοὶ ἐνίκησαν αὐ-
τὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐ-
τῶν. καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου. διὰ τοῦ-
το εὐφραίνεσθε οἱ οὐρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. οὐαὶ τοῖς
κατοικοῦσι τὴν γῆν, καὶ τὴν θάλασσαν, ὅτι κατέβη ὁ διάβο-
λος πρὸς ὑμᾶς, ὁ ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον και-
ρὸν ἔχει. καὶ ὅτε εἶδεν ὁ δράκων, ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐ-
δίωξε τὴν γυναῖκα, ἥτις ἔτεκε τὸν ἄῤῥενα. καὶ ἐδόθησαν τῇ γυ-
ναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρη-
μον εἰς τὸν τόπον αὐτῆς, ὅπου τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς
καὶ ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως. καὶ ἔβαλεν ὁ ὄφις ὀπί-
σω τῆς γυναικὸς ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ ὡς ποταμόν, ἵνα
ταύτην ποταμοφόρητον ποιήσῃ. καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί,
καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιεν τὸν ποταμόν, ὃν ἔ-
βαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ. καὶ ὠργίσθη ὁ δράκων ἐπὶ
τῇ γυναικὶ καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ
σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ ἐ-
χόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ. ἐστάθην ἐπὶ τὴν ἄμμον
τῆς θαλάσσης. Κεφ. ιγ. Καὶ εἶδον ἐκ τῆς θαλάσσης θη- XIII
ρίον ἀναβαῖνον ἔχον κεφαλὰς ἑπτά, καὶ κέρατα δέκα, καὶ ἐπὶ
τῶν κεράτων αὐτοῦ δέκα διαδήματα. καὶ ἐπὶ τὰς κεφαλὰς
αὐτοῦ ὄνομα βλασφημίας, καὶ τὸ θηρίον ὃ εἶδον, ὅμοιον
παρδάλει καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτον, καὶ τὸ στόμα αὐτοῦ ὡς

στόμα λέοντος. καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ
καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην, καὶ εἶδον μίαν τῶν κε-
φαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον. καὶ ἡ πληγὴ τοῦ θανάτου
αὐτοῦ ἐθεραπεύθη. καὶ ἐθαυμάσθη ἐν ὅλῃ τῇ γῇ ὀπίσω τοῦ θηρί-
ου. καὶ προσεκύνησαν τὸν δράκοντα ὃς ἔδωκεν ἐξουσίαν τῷ
θηρίῳ, καὶ προσεκύνησαν τὸ θηρίον, λέγοντες, τίς ὅμοιος τῷ
κυρίῳ, τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ; καὶ ἐδόθη αὐτῷ στό-
μα λάλον μεγάλα καὶ βλασφημίας. καὶ ἐδόθη αὐτῷ ἐξουσία
ποιῆσαι μῆνας τεσσαράκοντα δύο, καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς
βλασφημίαν πρὸς τὸν θεὸν βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ καὶ τὴν
σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας, καὶ ἐδόθη
αὐτῷ πόλεμον ποιῆσαι μετὰ τῶν ἁγίων, καὶ νικῆσαι αὐτούς,
καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος,
καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς
γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐν τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρ-
νίου ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου. Εἴτις ἔχει οὖς, ἀ-
κουσάτω. εἴτις αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν
ὑπάγει. εἴτις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαί-
ρᾳ ἀποκτανθῆναι, ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.
καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς καὶ εἶχε κέρατα δύο
ὅμοια ἀρνίου, καὶ ἐλάλει ὡς δράκων. καὶ τὴν ἐξουσίαν τοῦ πρώ-
του θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ, καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς
κατοικοῦντας ἐν αὐτῇ, ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶ-
τον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. καὶ ποιεῖ σημεῖα
μεγάλα, ἵνα καὶ πῦρ ποιῇ καταβαίνειν ἐκ τοῦ οὐρανοῦ εἰς τὴν
γῆν ἐνώπιον τῶν ἀνθρώπων. καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ
τῆς γῆς διὰ τὰ σημεῖα, ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θη-
ρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ποιῆσαι εἰκόνα τῷ
θηρίῳ, ὃ ἔχει τὴν πληγὴν τῆς μαχαίρας, καὶ ἔζησε. καὶ ἐδόθη



αὐτῷ δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰ-
κὼν τοῦ θηρίου, καὶ ποιήσῃ ὅσοι ἂν μὴ προσκυνήσωσι τὴν εἰ-
κόνα τοῦ θηρίου, ἵνα ἀποκτανθῶσι. καὶ ποιεῖ πάντας τοὺς μι-
κρούς, καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους, καὶ τοὺς πτωχοὺς
καὶ τοὺς ἐλευθέρους, καὶ τοὺς δούλους, ἵνα δώσῃ αὐτοῖς χά-
ραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν μετώ-
πων αὐτῶν, καὶ ἵνα μήτις δύναται ἀγοράσαι ἢ πωλῆσαι εἰ μὴ
ὁ ἔχων τὸ χάραγμα ἢ τὸ ὄνομα τοῦ θηρίου ἢ τὸν ἀριθμὸν τοῦ ὀνό-
ματος αὐτοῦ, ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων τὸν νοῦν ψηφισάτω
ἀριθμὸν τοῦ θηρίου, ἀριθμὸς γὰρ ἀνθρώπου ἐστί, καὶ ὁ ἀριθμὸς
αὐτοῦ, χξς. Κεφάλαιον. ιδ. Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνί- XIIII
ον ἑστὸς ἐπὶ τὸ ὄρος σιών, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαρά-
κοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ
καιόμενον ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα φωνὴν ἐκ τοῦ
οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς
μεγάλης. καὶ φωνὴν ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς
κιθάραις αὐτῶν, καὶ ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ
θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων.
καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσαρά-
κοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς, οὗ-
τοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν, παρθένοι γάρ
εἰσιν, οὗτοι οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ, οὗτοι
ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρ-
νίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη δόλος, ἄμωμοι γάρ
εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ. καὶ εἶδον ἄγγελον πετώμενον
ἐν μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον εὐαγγελίσαι τοὺς
καθημένους τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, καὶ πᾶν ἔθνος, καὶ
φυλήν, καὶ γλῶσσαν, καὶ λαόν, λέγοντα ἐν φωνῇ μεγάλῃ. φοβήθη-
τε τὸν θεόν, καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως

αὐτοῦ, καὶ προσκυνήσατε τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν
καὶ θάλασσαν, καὶ πηγὰς ὑδάτων. καὶ ἄλλος ἄγγελος ἠκολού-
θησε, λέγων, ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη, ὅτι ἐκ
τοῦ οἴνου τῆς πορνείας αὐτῆς πεπότικεν πάντα ἔθνη. Καὶ τρί-
τος ἄγγελος ἠκολούθησεν αὐτοῖς, λέγων φωνῇ μεγάλῃ, εἴ τις
τῷ θηρίῳ προσκυνεῖ, καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάρα-
γμα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ αὐτὸς πίε-
ται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ, τοῦ κεκρασμένου ἀκράτου ἐν τῷ
ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ. καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ, ἐ-
νώπιον ἀγγέλων τῶν ἁγίων, καὶ ἐνώπιον τοῦ ἀρνίου. καὶ ὁ καπνὸς τοῦ βα-
σανισμοῦ αὐτῶν ἀναβαίνει εἰς αἰῶνα αἰώνων, καὶ οὐκ ἔχουσιν ἀνά-
παυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τῷ θηρίῳ, καὶ τὴν
εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει χάραγμα τοῦ ὀνόματος αὐτοῦ. ὧδε
ὑπομονὴ τῶν ἁγίων ἐστίν, ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς καὶ τὴν
πίστιν Ἰησοῦ. καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης μοι.
γράψον, μακάριοι οἱ νεκροί, οἱ ἐν κυρίῳ ἀποθνήσκοντες ἀπάρ-
τι. Ναί, λέγει τὸ πνεῦμα, ἵνα ἀναπαύσονται ἐκ τῶν κόπων αὐ-
τῶν, τὰ δὲ ἔργα ἀκολουθεῖ μετ᾽ αὐτῶν. καὶ εἶδον, καὶ ἰδοὺ
νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀν-
θρώπου ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ
ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ. καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ
τοῦ ναοῦ, κράζων ἐν μεγάλῃ τῇ φωνῇ τῷ καθημένῳ ἐπὶ τῆς νε-
φέλης. πέμψον τὸ δρέπανόν σου, καὶ θέρισον, ὅτι ἦλθέ σοι ἡ
ὥρα θερίσαι, ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς. καὶ ἔβαλεν ὁ
καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν,
καὶ ἐθερίσθη ἡ γῆ. καὶ ἄλλος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐ-
ρανῷ ἄγγελος, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. Καὶ ἄλλος ἄγγε-
λος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός,
καὶ ἐφώνησε κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξύ, λέγων.



πέμψον σου τὸ δρέπανον τὸ ὀξύ, καὶ τρύγησον τοὺς βότρυας τῆς
γῆς, ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς. καὶ ἔβαλεν ὁ ἄγγελος τὸ
δρέπανον αὐτοῦ εἰς τὴν γῆν. καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς
γῆς, καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ τὴν μεγάλην
καὶ ἐπατήθη ἡ ληνὸς ἔξω τῆς πόλεως, ἐξῆλθεν αἷμα ἐκ τῆς
ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων ἀπὸ σταδίων χιλίων ἑξ-
ακοσίων. Κεφάλαιον ιε. Καὶ εἶδον ἄλλο σημεῖον ἐν XV
τῷ οὐρανῷ μέγα καὶ θαυμαστόν, ἀγγέλους ἑπτὰ ἔχοντας πλη-
γὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐτοῖς ἐτελέσθη ὁ θυμὸς τοῦ
θεοῦ, καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρί, καὶ τοὺς
νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ, καὶ ἐκ τοῦ χα-
ράγματος αὐτοῦ, ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας
ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ θεοῦ. καὶ ᾄ-
δουσι τὴν ᾠδὴν Μωσέως δούλου τοῦ θεοῦ καὶ τὴν ᾠδὴν τοῦ ἀρνί-
ου, λέγοντες. μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου κύριος ὁ θεὸς
ὁ παντοκράτωρ, δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου ὁ βασιλεὺς
τῶν ἁγίων. τίς οὐ μὴ φοβηθῇ κύριε. καὶ δοξάσῃ τὸ ὄνομά σου; ὅτι
μόνος ὅσιος, ὅτι πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώ-
πιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν. καὶ μετὰ ταῦτα
εἶδον. καὶ ἰδοὺ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐ-
ρανῷ, καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ πληγάς, ἐκ
τοῦ ναοῦ, ἐνδεδυμένοι λίνον καθαρὸν λαμπρόν, καὶ περιεζωσμένοι
τὰ στήθη ζώνας χρυσᾶς, καὶ ἓν τῶν τεσσάρων ζώων ἔδωκε τοῖς ἑπ-
τὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς γεμούσας τοῦ θυμοῦ τοῦ θεοῦ
τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ
ἐκ τῆς δόξης τοῦ θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ. καὶ οὐδεὶς ἠδύ-
νατο εἰσελθεῖν ἐν τῷ ναῷ, ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπ-
τὰ ἀγγέλων. Κεφάλ. ις. Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ XVI
τοῦ ναοῦ, λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις, ὑπάγετε, ἐκχέετε

τὰς φιάλας τοῦ θυμοῦ εἰς τὴν γῆν, καὶ ἀπῆλθεν ὁ πρῶτος, καὶ
ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ἕλκος κακὸν
καὶ πονηρὸν εἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα
τοῦ θηρίου, καὶ τοὺς τὴν εἰκόνα προσκυνοῦντας αὐτοῦ, καὶ ὁ
δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν,
καὶ ἐγένετο αἷμα ὡς νεκροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν
ἐν τῇ θαλάσσῃ. καὶ ὁ τρίτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐ-
τοῦ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων, καὶ
ἐγένετο αἷμα. καὶ ἤκουσα τοῦ ἀγγέλου λέγοντος, δίκαιος
κύριε εἶ, ὁ ὢν καὶ ὁ ἦν, καὶ ὅσιος, ὅτι ταῦτα ἔκρινας, ὅτι αἷμα
ἁγίων καὶ προφητῶν ἐξέχεον, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν
ἄξιοι γάρ εἰσιν. καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου, λέγοντος.
Ναὶ κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρί-
σεις σου. καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
ἐπὶ τὸν ἥλιον. καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀνθρώπους
ἐν πυρί. καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα. καὶ ἐ-
βλασφήμησαν τὸ ὄνομα τοῦ θεοῦ, τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς
πληγὰς ταύτας. καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν. καὶ
ὁ πέμπτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον
τοῦ θηρίου, καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη, καὶ ἐ-
μασσῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου, καὶ ἐβλασφήμη-
σαν τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν, καὶ ἐκ τῶν ἑλ-
κῶν αὐτῶν, καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν. Καὶ ὁ ἕκ-
τος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν
μέγαν τὸν εὐφράτην, καὶ ἐξηράνθη τὸ ὕδωρ. ἵνα ἑτοιμασθῇ ἡ ὁ-
δὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῶν ἡλίου. καὶ εἶδον ἐκ τοῦ
στόματος τοῦ δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ
ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρ-
τα ὅμοια βατράχοις, εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα
σημεῖα



σημεῖα, ἐκπορεύεσθαι ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τῆς οἰκουμέ-
νης ὅλης συναγαγεῖν αὐτοὺς εἰς πόλεμον τῆς ἡμέρας ἐκείνης
τῆς μεγάλης τοῦ θεοῦ τοῦ παντοκράτορος. Ἰδοὺ ἔρχομαι ὡς κλέ-
πτης. Μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα
μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ.
καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον ἑβραϊστὶ
ἀρμαγεδδών. καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
εἰς τὸν ἀέρα. καὶ ἐξῆλθε φωνὴ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θρόνου, λέγου-
σα, γέγονε. καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαί, καὶ
σεισμὸς ἐγένετο μέγας, οἷος οὐκ ἐγένετο ἀφ᾽ οὗ οἱ ἄνθρωποι ἐ-
γένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτως μέγας. Καὶ
ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐ-
θνῶν ἔπεσον. Καὶ βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ
δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ. πᾶ-
σα νῆσος ἔφυγε καὶ ὄρη οὐχ εὑρέθησαν. καὶ χάλαζα μεγάλη
ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους,
καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν ἐκ τῆς πληγῆς τῆς χα-
λάζης, ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα. Κεφ. ιζ.

Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων, τῶν ἐχόντων τὰς ἑ-
πτὰ φιάλας, καὶ ἐλάλησε μετ᾽ ἐμοῦ, λέγων μοι. δεῦρο, δεί-
ξω σοι τὸ κρῖμα τῆς πόρνης, τῆς μεγάλης, τῆς καθημένης ἐπὶ ὑδάτων
πολλῶν, μεθ᾽ ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθη-
σαν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς οἱ κατοικοῦντες τὴν γῆν. καὶ
ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι. καὶ εἶδον γυναῖκα καθη-
μένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον
κέρατα δέκα. καὶ ἡ γυνὴ ἡ περιβεβλημένη πορφύρᾳ καὶ κοκ-
κίνῳ καὶ κεχρυσωμένη χρυσῷ, καὶ λίθῳ τιμίῳ, καὶ μαργαρί-
ταις, ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδε-
λυγμάτων καὶ ἀκαθάρτητος πορνείας αὐτῆς, καὶ τὸ μέτω-

κλαίουσι, καὶ πενθοῦσιν ἐν ἑαυτοῖς, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς
ἀγοράζει οὐκέτι, γόμος χρυσοῦ καὶ ἀργυροῦ, καὶ λίθου τιμίου,
καὶ μαργαρίτου καὶ βύσσου, καὶ πορφυροῦ, καὶ κοκκίνου, καὶ πᾶν
ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος ἐκ
ξύλου τιμιωτάτου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ κινάμωμον.
καὶ θυμιάματα, καὶ μύρον, καὶ λίβανον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ
σεμίδαλιν, καὶ σῖτον, καὶ κτήνη, καὶ πρόβατα, καὶ ἵππων, καὶ
ῥεδῶν, καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώπων. καὶ ἡ ὀπώρα τῆς ἐπι-
θυμίας τῆς ψυχῆς σου ἀπῆλθεν ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ,
καὶ τὰ λαμπρὰ ἀπῆλθεν ἀπὸ σοῦ, καὶ οὐκέτι οὐ μὴ εὑρήσεις
αὐτά. Οἱ ἔμποροι τούτων οἱ πλουτήσαντες ἀπ᾽ αὐτῆς ἀπὸ μα-
κρόθεν στήσονται, διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, κλαίον-
τες καὶ πενθοῦντες, καὶ λέγοντες, οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγά-
λη ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν, καὶ κόκκινον, καὶ
κεχρυσωμένη ἐν χρυσῷ καὶ λίθῳ τιμίῳ, καὶ μαργαρίταις,
ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος. καὶ πᾶς κυβερνή-
της, καὶ πᾶς ἐπὶ τῶν πλοίων ὁ ὅμιλος καὶ ναῦται τὴν θάλασ-
σαν ἐργάζοντες ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἔκραζον ὁρῶντες τὸν
καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες, τίς ὁμοία τῇ πόλει τῇ με-
γάλῃ; καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραζον
κλαίοντες καὶ πενθοῦντες, λέγοντες. οὐαὶ οὐαὶ ἡ πόλις ἡ με-
γάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσ-
σῃ ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη. εὐφραίνου
ἐπ᾽ αὐτήν οὐρανὲ, καὶ οἱ ἅγιοι ἀπόστολοι, καὶ οἱ προφῆται, ὅτι
ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς. καὶ ἦρεν εἷς ἄγγελος
ἰσχυρὸς λίθον ὡς μύλον μέγα, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν,
λέγων, οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πό-
λις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν,
καὶ αὐλητῶν καὶ σαλπιστῶν, οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. καὶ πᾶς



τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι. καὶ φωνὴ μύ-
λου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ
μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς
γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη,
καὶ ἐν αὐτῇ αἷμα προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ πάντων τῶν
ἐσφαγμένων ἐπὶ τῆς γῆς. Κεφ. ιθ. Καὶ μετὰ ταῦτα ἤκου- XIX
σα φωνὴν ὄχλου πολλοῦ ἐν τῷ οὐρανῷ, λέγοντος τὸ ἀλληλούϊα,
ἡ σωτηρία καὶ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις κυρίῳ τῷ
θεῷ ἡμῶν, ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ, ὅτι ἔκρι-
νε τὴν πόρνην τὴν μεγάλην, ἥτις ἔφθειρε τὴν γῆν ἐν τῇ πορ-
νείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ, ἐκ τῆς χειρὸς
αὐτῆς, καὶ δεύτερον εἴρηκαν, ἀλληλούϊα. καὶ ὁ καπνὸς ἀναβαίνει
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἔπεσαν οἱ πρεσβύτεροι οἱ .κδ.
καὶ τὰ τέσσαρα ζῶα, καὶ προσεκύνησαν τῷ θεῷ τῷ καθημένῳ
ἐπὶ τοῦ θρόνου, λέγοντες, ἀμὴν ἀλληλούϊα. Καὶ φωνὴ ἐκ τοῦ θρό-
νου ἐξῆλθεν, αἰνεῖτε τὸν θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ
οἱ φοβούμενοι αὐτὸν, καὶ οἱ μικροὶ καὶ οἱ μεγάλοι. Καὶ ἤκουσα
φωνὴν ὄχλου πολλοῦ, καὶ φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φω-
νὴν βροντῶν ἰσχυρῶν, λέγοντας, ἀλληλούϊα, ὅτι ἐβασίλευσεν
ὁ θεὸς ὁ παντοκράτωρ. χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ δῶμεν
τὴν δόξαν αὐτῷ. ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου. Καὶ ἡ γυνὴ ἡ-
τοίμασεν ἑαυτήν. καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον
καθαρὸν καὶ λαμπρόν. τὸ γὰρ βύσσινον τὰ δικαιώματά ἐστιν τῶν
ἁγίων. καὶ λέγει μοι. Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ ἀρνίου κε-
κλημένοι. καὶ λέγει μοι, οὗτοι οἱ λόγοι ἀληθινοί εἰσιν τοῦ θεοῦ.
Καὶ ἔπεσα ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ, προσκυνῆσαι αὐτῷ.
καὶ λέγει μοι, ὅρα μὴ, σύνδουλός σου εἰμὶ, καὶ τῶν ἀδελφῶν
σου, καὶ τῶν ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ. τῷ θεῷ προ-
σκύνησον. ἡ γὰρ μαρτυρία Ἰησοῦ ἐστὶ τὸ πνεῦμα τῆς προφητείας.

Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον. καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν πιστὸς καὶ ἀληθινὸς, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρὸς, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλὰ, ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός. καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ ὁ λόγος τοῦ θεοῦ. καὶ τὰ στρατεύματα ἐν τῷ οὐρανῷ ἠκολούθουν αὐτῷ ἐφ' ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν καὶ καθαρόν. καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάσσῃ τὰ ἔθνη. καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ, καὶ τῆς ὀργῆς τοῦ θεοῦ παντοκράτορος. καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον, καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ, τὸ ὄνομα γεγραμμένον, βασιλεὺς βασιλέων, καὶ κύριος κυρίων. καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν ἡλίῳ. καὶ ἔκραξε φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετωμένοις ἐν μεσουρανήματι, δεῦτε καὶ συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ μεγάλου θεοῦ, ἵνα φάγητε σάρκας βασιλέων, καὶ χιλιάρχων, καὶ σάρκας ἰσχυρῶν, καὶ σάρκας ἵππων, καὶ τῶν καθημένων ἐπ' αὐτῶν, καὶ σάρκας πάντων ἐλευθέρων, καὶ δούλων, καὶ μικρῶν καὶ μεγάλων. Καὶ εἶδον τὸ θηρίον, καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ. καὶ ἐπιάσθη τὸ θηρίον, καὶ μετὰ τούτου ὁ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ. ζῶντες βληθήσονται οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν τῷ θείῳ. Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐκπορευομένῃ ἐκ τοῦ στόματος αὐτοῦ, καὶ πάντα ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν



XX

αὐτῶν. Κεφ. κ. Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. καὶ ἐκράτησε τὸν δράκοντα τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι διάβολος καὶ σατανᾶς, καὶ ἔδησεν αὐτὸν χίλια ἔτη, καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισεν αὐτὸν, καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανήσῃ τὰ ἔθνη ἔτι, ἄχρι τελεσθῇ χίλια ἔτη. καὶ μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον. καὶ εἶδον θρόνους καὶ ἐκάθισαν ἐπ' αὐτοὺς, καὶ κρίμα ἐδόθη αὐτοῖς, καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ, καὶ διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τῷ θηρίῳ, οὔτε τὴν εἰκόνα αὐτοῦ, καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν, καὶ ἔζησαν, καὶ ἐβασίλευσαν μετὰ Χριστοῦ χίλια ἔτη. οἱ δὲ λοιποὶ τῶν νεκρῶν οὐκ ἀνέζησαν ἕως τελεσθῇ τὰ χίλια ἔτη ἄχρι. αὕτη ἡ ἀνάστασις ἡ πρώτη. Μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ, ἐπὶ τούτων ὁ θάνατος ὁ δεύτερος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσονται ἱερεῖς τοῦ θεοῦ, καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη. Καὶ ὅτε ἐτελέσθησαν τὰ χίλια ἔτη, λυθήσεται ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν τέσσαρσι γωνίαις τῆς γῆς τὸν γὼγ καὶ μαγὼγ συναγαγεῖν αὐτοὺς εἰς πόλεμον, ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης. Καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην. καὶ κατέβη πῦρ ἀπὸ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτούς, καὶ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου τὸ θηρίον, καὶ ὁ ψευδοπροφήτης, καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ εἶδον θρόνον λευκὸν μέγαν καὶ τὸν καθήμενον ἐπ' αὐτοῦ, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ

οὐρανὸς, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. καὶ εἶδον τοὺς νεκροὺς
μικροὺς καὶ μεγάλους ἑστῶτας ἐνώπιον τοῦ θεοῦ, καὶ βιβλία
ἠνοίχθησαν. καὶ βιβλίον ἄλλο ἠνοίχθη, ὅ ἐστι τῆς ζωῆς, καὶ ἐκρί
θησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, κατὰ
τὰ ἔργα αὐτῶν. καὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκρούς,
καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς ἐν αὐτοῖς νεκρούς, καὶ ἐ
κρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν. καὶ ὁ θάνατος καὶ ὁ ᾅδης
ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός. οὗτός ἐστιν ὁ δεύτερος θά
νατος. καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμέ
XXI νος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός. Κεφ. κα. Καὶ εἶ
δον οὐρανὸν καινὸν καὶ γῆν καινήν, ὁ γὰρ πρῶτος οὐρανὸς καὶ
ἡ πρώτη γῆ παρῆλθεν, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι. καὶ ἐγὼ Ἰωάν
νης εἶδον τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν καταβαίνου
σαν ἀπὸ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ ἡτοιμασμένην, ὡς νύμφην κεκο
σμημένην τῷ ἀνδρὶ αὐτῆς. καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐ
ρανοῦ, λεγούσης. ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων καὶ
σκηνώσει μετ' αὐτῶν. καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ
θεὸς ἔσται μετ' αὐτῶν θεὸς αὐτῶν. καὶ ἐξαλείψει ὁ θεὸς πᾶν
δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ὁ θάνατος οὐκ ἔσται,
οὔτε πένθος, οὔτε κραυγή, οὔτε πόνος οὐκ ἔσται ἔτι, ὅτι τὰ πρῶ
τα ἀπῆλθον. καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τοῦ θρόνου. ἰδοὺ καινὰ
πάντα ποιῶ. καὶ λέγει μοι. γράψον, ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ
καὶ πιστοί εἰσι. καὶ εἶπέ μοι. γέγονε, ἐγώ εἰμι τὸ α καὶ τὸ ω. ἡ ἀρ
χὴ καὶ τὸ τέλος. Ἐγὼ τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς ὕδατος
τῆς ζωῆς δωρεάν. ὁ νικῶν κληρονομήσει πάντα, καὶ ἔσομαι αὐ
τῷ θεός, καὶ αὐτὸς ἔσται μοι ὁ υἱός. δειλοῖς δέ, καὶ ἀπίστοις καὶ
ἐβδελυγμένοις καὶ φονεῦσι, καὶ πόρνοις, καὶ φαρμακεῦσι, καὶ εἰ
δωλολάτραις, καὶ πᾶσι τοῖς ψευδέσι τὸ μέρος αὐτῶν ἐν τῇ λί
μνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστι δεύτερος θάνατος. καὶ



ἦλθε πρός με εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιά
λας τὰς γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων. καὶ ἐλά
λησε μετ' ἐμοῦ, λέγων. δεῦρο δείξω σοι τὴν νύμφην τοῦ ἀρνίου
τὴν γυναῖκα. καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ' ὄρος μέγα καὶ
ὑψηλόν, καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱε
ρουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, ἔχουσαν
τὴν δόξαν τοῦ θεοῦ. καὶ ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτά
τῳ ἰάσπιδι κρυσταλλίζοντι, ἔχουσά τε τεῖχος μέγα καὶ ὑψηλόν,
ἔχουσα πυλῶνας. ιβ. καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα,
καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστι τῶν δώδεκα φυλῶν τῶν υἱῶν
Ἰσραήλ. Ἀπ' ἀνατολῆς πυλῶνες τρεῖς, ἀπὸ βορρᾶ πυλῶνες
τρεῖς, ἀπὸ μεσημβρίας πυλῶνες τρεῖς, ἀπὸ δυσμῶν πυλῶνες
τρεῖς, καὶ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐν αὐ
τοῖς ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου. καὶ ὁ λαλῶν μετ'
ἐμοῦ εἶχε κάλαμον χρυσοῦν ἵνα μετρήσῃ τὴν πόλιν, καὶ τοὺς πυ
λῶνας αὐτῆς, καὶ τὸ τεῖχος αὐτῆς. καὶ ἡ πόλις τετράγωνος κεῖται,
καὶ τὸ μῆκος αὐτῆς τοσοῦτόν ἐστιν ὅσον καὶ τὸ πλάτος, καὶ ἐμέ
τρησε τὴν πόλιν ἐν τῷ καλάμῳ ἐπὶ σταδίων δώδεκα χιλιάδων.
τὸ μῆκος, καὶ τὸ πλάτος, καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστίν. Καὶ ἐμέ
τρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαρακοντατεσσάρων πηχῶν,
μέτρον ἀνθρώπου ὅ ἐστιν ἀγγέλου. καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους
αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρὸν ὁμοία ὑάλῳ κα
θαρῷ. καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ
τιμίῳ κεκοσμημένοι. Ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτε
ρος σάπφειρος. ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμάραγδος,
ὁ πέμπτος σαρδόνυξ, ὁ ἕκτος σάρδιος, ὁ ἕβδομος χρυσό
λιθος, ὁ ὄγδοος βήρυλλος, ὁ ἔνατος τοπάζιον, ὁ δέκατος
χρυσόπρασος, ὁ ἑνδέκατος ὑάκινθος, ὁ δωδέκατος ἀμέ
θυστος. καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαργαρῖται, ἀνὰ

εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου, καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν, ὡς ὕαλος διαφανής. καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ. ὁ γὰρ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ναὸς αὐτῆς ἐστὶ, καὶ τὸ ἀρνίον. καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης ἵνα φαίνωσιν αὐτῇ. ἡ γὰρ δόξα τοῦ θεοῦ ἐφώτισεν αὐτὴν. καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. καὶ τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσι. καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν αὐτῶν εἰς αὐτὴν, καὶ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας, νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ. καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινοῦν καὶ ποιοῦν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

XXIII Κεφάλ. κβ. Καὶ ἔδειξέ μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ, καὶ τοῦ ἀρνίου. ἐν μέσῳ τῆς πλατείας αὐτῆς, καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐντεῦθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕνα ἕκαστον ἀποδιδόντα καρπὸν αὐτοῦ. Καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν, καὶ πᾶν κατανάθεμα οὐκ ἔσται ἔτι. καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται. καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ, καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν, καὶ νὺξ οὐκ ἔσται ἐκεῖ, καὶ χρείαν οὐκ ἔχουσιν λύχνου, καὶ φωτὸς ἡλίου, ὅτι κύριος ὁ θεὸς φωτίζει αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ εἶπέ μοι, οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί. καὶ κύριος ὁ θεὸς τῶν ἁγίων προφητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει. ἰδοὺ ἔρχομαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. Καὶ ἐγὼ ἰωάννης ὁ βλέπων ταῦτα, καὶ ἀκούων. καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσα προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός



μοι ταῦτα, καὶ λέγει μοι, ὅρα μή, σύνδουλός σου γάρ εἰμι καὶ τῶν ἀδελφῶν σου προφητῶν, καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου. τῷ θεῷ προσκύνησον. καὶ λέγει μοι. Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. ὅτι ὁ καιρὸς ἐγγύς ἐστιν. Ὁ ἀδικῶν ἀδικησάτω ἔτι. καὶ ὁ ῥυπῶν, ῥυπωσάτω ἔτι. καὶ ὁ δίκαιος δικαιωθήτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι. καὶ ἰδοὺ ἔρχομαι ταχὺ, καὶ ὁ μισθός μου μετ᾽ ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ἔσται. Ἐγώ εἰμι τὸ. α. καὶ τὸ ω. ἀρχὴ, καὶ τέλος, ὁ πρῶτος, καὶ ὁ ἔσχατος. Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. Ἔξω δὲ οἱ κύνες καὶ οἱ φαρμακοὶ, καὶ πόρνοι, καὶ οἱ φονεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς ὁ φιλῶν, καὶ ποιῶν ψεῦδος. Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ταῖς ἐκκλησίαις. ἐγώ εἰμι ῥίζα, καὶ τὸ γένος τοῦ δαβὶδ, ὁ ἀστὴρ λαμπρὸς καὶ ὀρθρινός. καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσι, ἐλθὲ, καὶ ὁ ἀκούων εἰπάτω, ἐλθέ. καὶ ὁ διψῶν ἐλθέτω. καὶ ὁ θέλων, λαμβανέτω τὸ ὕδωρ ζωῆς δωρεάν. συμμαρτυροῦμαι γὰρ παντὶ ἀκούοντι τοὺς λόγους προφητείας βιβλίου τούτου. ἐάν τις ἐπιτιθῇ πρὸς ταῦτα, ἐπιθήσει ὁ θεὸς ἐπ᾽ αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν βιβλίῳ τούτῳ. καὶ ἐάν τις ἀφαιρῇ ἀπὸ τῶν λόγων βίβλου τῆς προφητείας ταύτης, ἀφαιρεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ βίβλου ζωῆς, καὶ πόλεως ἁγίας καὶ τῶν γεγραμμένων ἐν βιβλίῳ τούτῳ. λέγει ὁ μαρτυρῶν ταῦτα. ναὶ ἔρχομαι ταχύ. ἀμήν, ναὶ ἔρχου κύριε Ἰησοῦ. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Τῷ θεῷ δόξα.

## Emendanda in Romanis.

Fol. 3. col. [illegible]ersu ultimo προσωποληψία lege. fol. 4. col. 1. uer. 8. κατηγορούντων· colum. 2. uer. 16. ἰουδαίους. uer. 28. ἐνώπιον· fol. 5. col. 1. uer. 19. ἐδικαιώθη· uer. 23. δικαιοῦντα· col. 2. uer. 4. ἔσται· fol. 6. col. 2. uer. 20. πλεονάσῃ· fol. 9. col. 1. uer. 14. πρωτότοκον· fol. 10. col. 1. uer. 19. προείρηκεν· fol. 13. col. 2. uer. 13. & 17. ζῶ· fol. 14. col. 2. uer. 6. τὰ·

## In priore ad Corinthios.

Fol. 20. col. 1. uer. 7. μὴ συναναμίγνυσθαι lege. col. 2. uer. 10. ἔσῃς uer. 28. ὑπὲρ αὐτοῦ· f. 21. col. 1. uer. 2. κυρίου. uer. 7. οὐχ ἥμαρτε· uer. 22. ἐὰν ᾖ· fol. 22. col. 2. uer. 19. ἐργαζόμενοι· fol. 23. col. 1. uer. 1. καταχρήσασθαι· uer. 4. ἵνα τοὺς· 5. ὑπὸ νόμον· 8. διὰ. 11. καταλάβητε. fol. 24. col. 1. uer. 24. ἀλλὰ· col. 2. uer. 1. προσεύχεσθαι· uer. 10. ὑπὲρ αὐτοῦ· uer. 14. καταφρονεῖτε·

## In posteriore ad Corinrhios.

Fol. 31. col. 2. uer. 1. lege ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν· uer. 24. χαρίζεσθε· fol. 32. col. 1. uer. 20. τοὺς ἰούς· col. 2. uer. 9. μεταμορφούμεθα· f. 34. col. 1. uer. 17. pro κατακρίσωμεν, lege καθαρίσωμεν· fol. 37. col. 2. uer. 28. ἐν σώματι·

## In Galatis.

Fol. 41. col. 1. uer. 4. συνεσταύρωμαι· fol. 43. col. 1. uer. 10. τοιούτων· uer. 22. προκαλούμενοι·

In Romañ. Corint. utraq;, Galatis & Ephesijs ubicunq; occurrerit abbreuiatio illa ὑπ· pro ὑπὲρ· legenda est alióqui & uere quidem ὑπὲρ ἐμοῦ ualet.